# ΤΟ «ΠΕΡΙ ΜΕΤΡΩΝ ΚΑΙ ΣΤΑΘΜΩΝ» ΕΡΓΟΝ ΕΠΙΦΑΝΙΟΥ ΤΟΥ ΣΑΛΑΜΙΝΟΣ[1]

ΥΠΟ
ΗΛΙΑ Δ. ΜΟΥΤΣΟΥΛΑ, Δ. Θ.

## Β'.

## Τὸ «Περὶ μέτρων καὶ σταθμῶν» ἔργον Ἐπιφανίου τοῦ Σαλαμῖνος *

1. Εἴ τις ἐθέλει ** τῶν ἐν ταῖς θείαις γραφαῖς εἰδέναι τὰ πρὸς πολυπειρίαν μέρη, λέγω δὴ περὶ μέτρων καὶ σταθμῶν, τούτῳ τῷ ὑπομνηστικῷ ἐντυγχάνειν μὴ κατοκνείτω. Καὶ πρῶτον μὲν δεῖ εἰδέναι τὸν φιλόλογον, πόσα τυγχάνει ἐν ταῖς προφητείαις μέρη. Εἰς δέκα γὰρ διῄρηνται θεωρίας αἱ προφητεῖαι, οὕτω περιέχουσαι *** διδασκαλίας, θεωρίας, προτροπάς, ἐλέγχους, ἀπειλάς, ὀλοφυρμούς, θρήνους, εὐχάς, ἱστορίας, προρρήσεις. Παράκεινται δὲ ταῖς αὐταῖς προφητείαις σημεῖα ταῦτα· Ⴤ περὶ τῆς ἀποβολῆς τοῦ προτέρου λαοῦ· ⫫ περὶ τῆς ἀποβολῆς τοῦ κατὰ σάρκα νόμου· ⊻ περὶ τῆς καινῆς διαθήκης· ϵ περὶ τῆς τῶν ἐθνῶν κλήσεως. ⳾ περὶ Χριστοῦ. ʃ περὶ ἐπαγγελιῶν τοῦ προτέρου λαοῦ. ʓ περὶ τῆς ἐν ταῖς θείαις γραφαῖς ἀσαφείας· ⊻ περὶ μελλόντων προγνώσεως.

2. Ἐπειδὴ δέ τινες κατὰ προσῳδίαν ἔστιξαν τὰς γραφὰς καὶ περὶ τῆς

1. Συνέχεια ἐκ τῆς σελ. 670 τοῦ προηγουμένου τόμου.

1 θέλει Lag. δὲ θέλει J L VS οὖν θέλει $Lag^s_2$ post γραφαῖς add. κειμένων $V_1$ $V_2$ 2 λέγω δὲ Lag. post σταθμῶν $Lag^s$ add. καὶ τὴν γνῶσιν ἄλλων πραγμάτων post τούτῳ add. δὴ L 3 κατοκενείτω Op. φιλόλογον correxi: φιλόλογον codd. 5 ἐλέγχους om. J L VS $Lag^r$ 6 παράκειται $V_2$ 7 δὲ om. $V_2$ 7 κ. ἑ. (Ἐν τοῖς κώδιξι $V_1$ $V_2$ καὶ Lag. δὲν ἀναγράφονται σχηματικῶς τὰ σημεῖα). 8 Περὶ τῆς ... νόμου om. $Lag^r$ 9 τῆς om. J L VS $Lag^r$ Lag. 10 θείαις om. $V_1$ $V_2$ 12 post τινὲς add. καὶ L καὶ τὰς γραφὰς ἔστιξαν κατὰ προσῳδίαν $V_1$ $V_2$ post ἔστιξαν add. καὶ $Lag^s$ 12 - 13 τῶν προσῳδιῶν J L VS $Lag^r$ Lag.

* Ὁ Oporinus ἀναγράφει τὸ «Περὶ μέτρων καὶ σταθμῶν» ἐν τῇ ᾠᾳ. Ὁ Rehdigeranus παραλείπει τοῦτο τελείως. Τὰ συριακὰ χειρόγραφα ἀναγράφουν : «Τοῦ ἁγίου Ἐπιφανίου ἐπισκόπου τῆς πόλεως Κωνσταντίας τῆς Κύπρου περὶ τῶν μέτρων καὶ σταθμῶν καὶ τῶν ἀριθμῶν καὶ ἄλλων ὑποθέσεων τῶν ἐν ταῖς θείαις γραφαῖς». Σημειωτέον, ὅτι ὁ Rehdigeranus ἔχει πολλὰ ὀρθογραφικὰ σφάλματα. Π.χ. «πορρήσεις», «περσσῶς» ἀντὶ «περισῶς», «παράψις» ἀντὶ «παράλειψις», «ἐπίστασε» ἀντὶ «ἐπίστασαι», «πόθεσις» ἀντὶ «ὑπόθεσις» κ.ο.κ. Ταῦτα ἀνευρίσκει τις εἰς τὴν ὑπὸ τοῦ De Lagarde γενομένην ἔκδοσιν, ἐξ ἧς ἐλάβομεν καὶ τὰς ἐν τῷ ὑπομνήματι σημειουμένας γραφὰς τούτου, διὸ καὶ σημειοῦνται ὡς $Lag^r$.

** Τὸ «εἴ τις δὲ θέλει», ὅπερ ἀπαντᾷ εἰς τοὺς ἑλληνικοὺς κώδικας, συνδέει τὴν φράσιν πρὸς τὰ προηγούμενα. Ὄντως ὡς ὁ W. Dindorf ἀναγράφει (Epiphanii... vol. IV pars I ἔνθ' ἀν. σ. III) τὸ «Περὶ μέτρων καὶ σταθμῶν» ἔργον ἦτο συνδεδεμένον μετὰ τοῦ «Ἀγκυρωτοῦ» θεωρούμενον ὡς ἕν.

*** Τὸ S παραθέτει ἀριθμητικῶς ἕκαστον τούτων.

προσῳδίας τάδε· ὀξεῖα ´, βαρεῖα `, περισπωμένη ῀, μακρά ¯, βραχεῖα ᵕ, δασεῖα ῾, ψιλή ᾿, ἀπόστροφος ᾿, ὑφέν ‿, ὑποδιαστολή ,. Περὶ ἀστερίσκου καὶ ὀβελοῦ καὶ λιμνίσκου καὶ ὑπολιμνίσκου * ἤγουν τῶν ἐν ταῖς θείαις γραφαῖς σημείων.

Ὁ ἀστερίσκος οὗτος ※, ἔνθα παράκειται, σημαίνει τὸ ἐμφερόμενον ῥῆμα ἐν τῷ ἑβραϊκῷ κεῖσθαι καὶ ἐμφέρεσθαι παρὰ Ἀκύλᾳ καὶ Συμμάχῳ, σπανίως δὲ καὶ παρὰ Θεοδοτίωνι· οἱ δὲ ἑβδομήκοντα δύο ἑρμηνευταὶ παρῆκαν καὶ οὐχ ἡρμήνευσαν, ὡς δισσολογουμένων τῶν τοιούτων λογίων καὶ ὡς ἐκ περισσοῦ ἀναγινωσκομένων. Εἰς παράστασιν δὲ τῶν εἰρημένων λεκτέον διὰ βραχείας λέξεως εἰς τὸ ἀπὸ τῆς μιᾶς λέξεως περὶ τῶν λοιπῶν σε γνῶναι. Κεῖται ἐν ἀρχῇ τῆς Γενέσεως «οὐαεεεὶ Ἀδὰμ σαλωεὶμ σανᾶ οὐαθεσὰ μηὼθ σανᾶ», ὃ ἑρμηνεύεται, ὡς καὶ Ἀκύλας ἠκολούθησε, «καὶ ἔζησεν Ἀδὰμ τριάκοντα ἔτος καὶ ἐνακόσια ἔτος. Ὅθεν οἱ ἑβδομήκοντα δύο ἑρμηνευταὶ ἐξ Ἑβραίων ὁρμώμενοι καὶ ἐξ ἁπαλῶν ὀνύχων τήν τε τῶν Ἑβραίων, οὐ μὴν ἀλλὰ καὶ τῶν Ἑλλήνων ἀκριβῶς πεπαιδευμένοι φωνήν, οὐ μόνον τὴν ἐκ τῆς ἑβραΐδος εἰς ἑλληνίδα ἡρμήνευσαν γραφήν, ἀλλὰ καὶ τὴν ἐν τῇ ἑβραΐδι διὰ δισσολογίας ἐκφωνουμένην διάλεκτον τῇ τρανότητι ἑρμηνεύσαντες παρήγαγον. Καὶ ἀντὶ τοῦ εἰς δύο τόπους κεῖσθαι τὸ ὄνομα τοῦ ἔτους ἑνὶ τόπῳ χρησάμενοι τὴν δοκοῦσαν εἶναι βόμβησιν εἰς λειότητα μετέβαλον φήσαντες «ἔζησε δὲ Ἀδὰμ τριάκοντα καὶ ἐνακόσια ἔτη»[1], οὔτε ἐλλιπές τι ποιήσαντες τῷ λόγῳ, ἀλλὰ καὶ εἰς τρανότητα κατέστησαν τὴν ἀνάγνωσιν, ὅπερ ἐν μὲν τῇ ἑβραΐδι οὐ δύναται διὰ τῆς συντομίας λέγεσθαι οὕτως, ὡς οἱ ἑβδο-

1. Πρβλ. Γεν. 5,5

13 - 14 ὀξεῖα ´, δασεῖα ῾, βαρεῖα `, ψιλὴ ᾿, περισπωμένη ῀, ἀπόστροφος ᾿, μακρὰ ¯, ὑφὲν ‿, βραχεῖα ᵕ, ὑποδιαστολὴ , , $V_1$ $V_2$ J L VS $Lag^r$ 14 - 16 ὡσαύτως καὶ περὶ τῶν λοιπῶν σημείων. Περὶ ἀστερίσκου * Ὁ ἀστερίσκος οὗτος ἔνθα J L VS $Lag^r$ 15 ὑπ. τουτέστι $V_1$ $V_2$ 16 ὁ om. $V_1 V_2$ * om. J L VS $Lag^r$ Ἐν $V_1$ $V_2$ δὶς παρατίθεται ὁ ἀστερίσκος post * add. καὶ Lag. 18 Θεοδοτίονι J οβʹ $V_1$ $V_2$ 19 ἑρμήνευσαν J VS $Lag^r$ ὡς om. J L VS $Lag^r$ 20 εἰς παράστασιν δὲ τῶν εἰρημένων om. J L VS λεχθήτω $Lag^s$ post λεκτέον add. δὲ J L VS $Lag^r$ 21 εἰς τὸ ἀπὸ ταύτης J L VS εἰς τὸ ἀπὸ ἑνὸς λόγου $Lag^s$ 22 οὐαεεὶ Lag. σαλοεὶμ $V_1$ $V_2$ σαλα εἰμ $Lag^r$ σεναχθεσὰ $V_1$ $V_2$ 22-23 σιμαουθεσὰ μηωθσανὰ L σαμηωθσανὰ J VS σαμιωθσανὰ Dind. 23 ᾧ καὶ Ἀκύλας $V_1$ $V_2$ J L VS $Lag^r$ 23 - 24 λʹ $V_1$ $V_2$ 24 ἐννακόσια J VS $Lag^r$ ἐννακοσιοστὸν $V_2$ οβʹ $V_1$ $V_2$ $Lag^r$ 26 τῶν Λατίνων $Lag^r$ πεπαιδευμένην J VS $Lag^r$ 26 - 27 τὴν ἑβραΐδι $V_1$ τὴν ἑβραΐδα (-δ<α> $V_2$) $V_2$ $Lag^s$ 27 ἑρμήνευσαν J L VS ἑρμηνεύσαντες $Lag^r$ ἐν τῇ om. $V_1$ $V_2$ 27 - 28 ἐν τῇ ἑβραΐδι... ἑρμη om. $Lag^r$ 28 ἑρμηνεύοντες $V_1$ $V_2$ J L VS $Lag^r$ 30 βάμβησιν $V_2$ 31 λʹ $V_1$ $V_2$ ἐννακόσια $V_2$ VS $Lag^r$ ἐννακόσιον L 32 καταστήσαντες Lag. 33 μὲν om. J L VS τῆς om. $V_1$ $V_2$ 33-34 οβʹ $V_1$ $V_2$

* Κακῶς παραλείπεται εἰς ὡρισμένους ἐκ τῶν κωδίκων τὸ «καὶ ὀβελοῦ καὶ λιμνίσκου καὶ ὑπολιμνίσκου...». Τὸ ἐν τῇ ἀρχῇ τῆς τρίτης παραγράφου ἀναγραφόμενον «τοῦ δὲ ὀβελοῦ...» μαρτυρεῖ, ὅτι προηγουμένως ὁ συγγραφεὺς εἶχεν ἀναφέρει τὸ σημεῖον τοῦτο.

μήκοντα δύο λέγουσιν, ὅτι «ἔζησεν Ἀδὰμ τριάκοντα καὶ ἐνακόσια ἔτη[2], οὔτε ἐν τῇ ἑλληνίδι, ὡς ὁ Ἀκύλας ἡρμηνεύσεν, ἐξ ἐπιπολῆς λέγων «ἔζησεν Ἀδὰμ ἐνακόσια ἔτος καὶ τριάκοντα ἔτος». Ὁρᾷς γάρ, ὦ φιλόλογε, ὡς ἀπρέπειαν παρέχει τῷ λόγῳ, οὐ τῇ τρανότητι τοῦ λόγου προσέχων, ἀλλὰ τῇ τῆς δευτερολογίας ἀκριβείᾳ. Καὶ ἔδοξε τοῦτό τισι παρὰ μὲν τοῖς ἑβδομήκοντα δύο ἐλλιπῶς κεῖσθαι, παρὰ δὲ Ἀκύλᾳ καὶ Συμμάχῳ καὶ ἄλλαις ἐκδόσεσιν* ἀνελλιπῶς ἡρμηνεῦσθαι, ὅπερ οὐδὲ παρὰ τοῖς ἑβδομήκοντα δύο ἐνέλιπεν, ἀλλὰ καὶ ὑπὸ τῶν περὶ Ἀκύλαν μετὰ καὶ τῆς κακοφωνίας περισσῶς κεῖται ἐν δυσὶ τόποις ἀνθ' ἑνός, τουτέστιν ἀντὶ τοῦ ἔτη ἔτος καὶ ἔτος. Διὰ τοῦτο ἐν ἑνὶ τόπῳ τὸ τοῦ ἔτους ὄνομα οἱ ἑβδομήκοντα δύο παρέλιπον. Ἐλθόντων δὲ μετ' ἔπειτα τῶν περὶ Ἀκύλαν καὶ τὰ ὑπὸ τῶν ἑβδομήκοντα δύο παραλειφθέντα ἐκδεδωκότων, ἐδόκουν εἶναι περιττότερα. Ὠριγένης μετὰ ταῦτα ἐλθὼν ἀποκατέστησε μὲν ἑκάστῳ τόπῳ τὸν ἐλλείποντα λόγον, παρέθετο δὲ αὐτῷ τὸν ἀστερίσκον, οὐχ ὡς χρείας οὔσης τοῦ πάντως ζητηθῆναι τὸν λόγον, περιττὸς γάρ ἐστιν, ἀλλ' ἵνα μὴ παραλείψῃ Ἰουδαίοις καὶ Σαμαρείταις ἐπιλαμβάνεσθαι τῶν ἐν ταῖς ἁγίαις ἐκκλησίαις θείων γραφῶν, μηδενὸς ἐπιληψίμου πράγματος ὑπάρχοντος κατὰ τῆς πίστεως ἐν τοῖς ἀπηστερισμένοις λόγοις· περιττοὶ γάρ εἰσι καὶ δισσολογούμενοι, ὡς ἀπὸ τῆς ἀναγνώσεως ἐδείξαμεν περὶ τοῦ Ἀδὰμ καὶ τῆς αὐτοῦ ζωῆς· ὡς καὶ ἀπὸ τοῦ βραχυτάτου λόγου δυνατόν σε τοῖς λοιποῖς ἐπιστῆναι λόγοις, ἔνθα οἱ ἀστερίσκοι παράκεινται. Ἵνα δὲ καὶ τοῦτο μάθῃς, διὰ τί ἀστερίσκους παρέθετο τοῖς λόγοις τούτοις, ἀφθόνως καὶ τοῦτο λέξομεν. Ἐπίστασαι τοῦτο, ὦ ἀκροατά, ὅτι ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ οἱ ἀστέρες εἰσί, κἂν τε ὑπὸ νεφελῶν ἢ ἡλίου καλυφθῶσι. Τούτῳ τῷ νοήματι ὁ τοὺς ἀστερίσκους

1. Πρβλ. Γεν. 5,5.

34 λ' καὶ ϡ' $V_1$ $V_2$ ἐννακόσια J VS Lag$^r$ 35 ἐν om. J VS Lag$^r$ Lag. ἑρμήνευσεν VS Lag$^r$ ἐπιστολῆς $V_2$ J L VS Lag$^r$ 36 ἐνακόσιον L ϡ' $V_1V_2$ λ' $V_1V_2$ ὅρα Lag$^s$ φιλολόγε $V_1$ J L VS Lag$^r$ Lag. 37 τὴν τρανότητα $V_1$ $V_2$ Lag$^s$ (?) 38 δευτερογίας VS τοῖς om. $V_1$ $V_2$ τὰς VS Lag$^r$ 38 - 39 οβ' $V_1$ $V_2$ 39-40 ἐκθέσεσιν J L VS Lag$^r$ Lag$^s$ Lag. 40 ἐλλιπῶς $V_1$ $V_2$ J L VS οβ' $V_1$ $V_2$ 40-41 ἐνέλειπεν $V_2$ ἐνελίπω VS 41 Ἀκύλας Lag$^r$ (?) 42 post ἑνὸς add τόπου $V_1$ $V_2$ τοῦτ' ἐστὶν Lag. 43 οβ' παρέλειψαν $V_1$ $V_2$ 44 μετέπειτα L VS μετ' ἔπειτα .... καὶ τὰ om. $V_1$ $V_2$ (ἐσβεσμένον) οβ' $V_1$ $V_2$ 45 παραληφθέντα $V_2$ ἐκδεδοκότων J VS Lag$^r$ ἔδοξεν Lag$^r$ post Ὠριγένης add. δὲ L VS Lag. 46 ἀπ. μόνον VS τῷ ἑκάστῳ Pet. λείποντα $V_1V_2$ 47 post αὐτῷ add. * Lag. 48 παρείψῃ J L VS 51 ἀπεστερισμένοις L ἀπεστερημένοις $V_1$ $V_2$ J VS 52 ἐδιδάξαμεν J L VS Lag. 53 δυνατὸν ἐπιστῆναι σὲ τοῖς λοιποῖς λόγοις οἷς $V_1$ $V_2$ 55 παρέθεντο $V_1$ $V_2$ 56 ἀστ. ὑπάρχουσι $V_1$ $V_2$

* ἐκδόσεσιν : Ἐν τῷ κριτικῷ ὑπομνήματι ἀνέγραψα, ὅτι τὴν γραφὴν «ἐκθέσεσιν» παρέχουν καὶ οἱ Lag$^r$ καὶ Lag$^s$, καίτοι ὁ ἐκδότης Lag. δὲν περιγράφει τοῦτο σαφῶς. Τοῦτο εἶναι φυσικόν, ἐφ' ὅσον ὁ Lag. ἀποδέχεται τὰς γραφὰς τῶν κωδίκων τούτων.

παραθεὶς ἐποίησεν, ἵνα σοι δείξῃ ὅτι οἱ λόγοι, οἷς παράκεινται οἱ ἀστερίσκοι, πεπήγασι μὲν ἐν ταῖς ἑβραϊκαῖς λέξεσιν, ὡς οἱ ἀστέρες ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ, ἐκαλύφθησαν δὲ ὑπὸ τῆς τῶν ἑβδομήκοντα δύο ἑρμηνείας, ὡς οἱ ἀστέρες ὑπὸ τῶν νεφελῶν καλύπτονται. Αὕτη ἡ ὑπόθεσις τοῦ ἀστερίσκου.

3. Τοῦ δὲ ὀβελοῦ τὸ διήγημα τοῦτον ἔχει τὸν τρόπον. Ὀβελὸς οὗτός ἐστιν ὁ παρακείμενος—>· παραπλησίως γὰρ γράφεται τῇ καλουμένῃ γραμμῇ. Ὀβελὸς δὲ κέκληται κατὰ ἀττικὴν χρῆσιν, ἄλλοις δὲ καλεῖται δόρυ, ὅ ἐστι λόγχη, παρετέθη δὲ ταῖς τῆς θείας γραφῆς λέξεσι ταῖς παρὰ μὲν τοῖς ἑβδομήκοντα δύο ἑρμηνευταῖς κειμέναις παρὰ δὲ τοῖς περὶ Ἀκύλαν καὶ Σύμμαχον μὴ ἐμφερομέναις. Ἀφ' ἑαυτῶν γὰρ οἱ ἑβδομήκοντα δύο ἑρμηνευταὶ ταύτας τὰς λέξεις προσέθηκαν, οὐκ εἰς μάτην, ἀλλὰ μᾶλλον εἰς ὠφέλειαν. Ταῖς γὰρ ἐλλιπῶς ἐχούσαις λέξεσι προστεθεικότες εἰς σαφήνειαν τὴν ἀνάγνωσιν παρήγαγον, ὥσθ' ὑπολαμβάνειν ἡμᾶς οὐκ ἀμοίρους αὐτοὺς γεγενῆσθαι πνεύματος ἁγίου. Ὧν γὰρ οὐκ ἦν χρεία δισσολογεῖν παρῆκαν· ὅπου δὲ χωλὸν ἐδόκει τὸ ῥῆμα εἶναι εἰς ἑλληνικὴν διάλεκτον μεταφερόμενον, ἐκεῖ τὴν προσθήκην ἐποιήσαντο. Θαυμάσαι δέ ἐστιν ἐπὶ τούτῳ καὶ μὴ τολμᾶν μέμψιν ἐπάγειν, ἀλλὰ μᾶλλον ἔπαινον, ὡς ἐκ βουλῆς Θεοῦ γεγενημένον συνιέναι τὸν εὐλαβῆ. Ἑβδομήκοντα δύο γὰρ ὄντες τὸν ἀριθμὸν καὶ ἐν τῇ Φαρίᾳ νήσῳ, καλουμένῃ δὲ ἄνω γῇ, ἄντικρυ τῆς Ἀλεξανδρείας ἐν τριάκοντα καὶ ἓξ οἰκίσκοις, ζυγὴ ζυγὴ κατὰ οἰκίσκον, ἀφ' ἕωθεν ἕως ἑσπέρας συγκλειόμενοι, καὶ τὸ ἑσπέρας ἐν τριάκοντα ἓξ σκαφιδίοις περαιούμενοι καὶ ἀντιπεραιούμενοι εἰς τὸ τοῦ Πτολεμαίου τοῦ Φιλαδέλφου παλάτιον καὶ μετ' αὐτοῦ ἑστιώμενοι καὶ κατὰ ζυγὴν ἐν κοιτῶσι τριάκοντα ἓξ καθεύδοντες εἰς τὸ μὴ συνδυάσαι μετ' ἀλλήλων ἀλλ' ἀνοθεύτως

58 post ἵνα add. δὲ $V_1$ $V_2$ δόξῃ J L VS $Lag^r$ οἱ μὲν λόγοι $V_1$ $V_2$ 59 ἑβραϊκαῖς βίβλοις ὥσπερ $V_1$ $V_2$ ὥσπερ J L VS 60 τῆς om. J L VS $Lag^r$ οβ' $V_1$ $V_2$ 60-61 δὲ ὑπὸ τῶν ἑβδομήκοντα δύο ἑρμηνέων, ὥσπερ Pet. 61 ὡς om. J L VS $Lag^r$ ὥσπερ οἱ ἀστέρες Lag. Dind. ὑπὸ τῶν νεφῶν $V_2$ 63 ου δὲ $Lag^r$ (Τὸ Τ θὰ ἐτίθετο δι' ἐρυθρᾶς μελάνης). 64 προκείμενος $V_1$ $V_2$ Εἰς $V_1$ $V_2$ παραλείπεται ἡ παράθεσις τοῦ ὀβελοῦ παραπλήσιος γὰρ $V_1$ $V_2$ γὰρ om. L 65 ἀττ. κλῆσιν $V_2$ ἄλλοις δὲ καλεῖται om. $V_1$ $V_2$ Lag. τὸ δόρυ $V_1$ $V_2$ 66 μὲν om. $V_1$ $V_2$ J L VS $Lag^r$ 68 ἐκφερομέναις L $Lag^r$ οβ' $V_1$ $V_2$ 69 ὀφέλειαν Op. Pet. 71 ὥστε $V_1$ $V_2$ VS καὶ εὐμοίρους J L VS $Lag^r$ 72 παρήκαμεν $V_1$ $V_2$ 73 εἶναι om. $V_1 V_2$ ἑλληνικὸν VS 74 πρόσθεσιν $V_2$ ἐπὶ τούτου $V_2$ 75-76 Θεοῦ βουλῆς γεγενῆσθαι $V_1$ $V_2$ 76 γεγεννημένον Op. οβ' $V_1$ $V_2$ 77 Φαρείᾳ $V_1$ $V_2$ Ἀνωγῇ Lag. ἄντικρις $V_1$ $V_2$ 78 ἐν λ' καὶ ἓξ J VS $Lag^r$ ζυγῇ ζυγῇ $V_1$ $V_2$ ἀφ' om. $V_1$ $V_2$ ἀπὸ φέωθεν VS L $Lag^r$ εἰς ἑσπέραν $V_1$ $V_2$ 80 καὶ ἀντιπεραιούμενοι om. J L VS καὶ ἀναπεραιούμενοι Lag. τὸ αὐτοῦ Πτολεμαίου $V_1$ $V_2$ Πτολεμαίου Φιλαδέλφου Op. Pet. 81 ἐσθιόμενοι L 82 συνδιάσαι VS συνδοιάσαι Lag. μεταλλήλων VS ἀλλὰ ἀνοθεύτως $V_1$ $V_2$

ἑρμηνεῦσαι, οὕτω διετέλουν. Τοὺς γὰρ προειρημένους τριάκοντα ἓξ οἰκίσκους ὁ Πτολεμαῖος κατασκευάσας ἐν τῷ πέραν εἰς τὴν νῆσον διπλοῦς τε αὐτοὺς ποιήσας δύο δύο ἐνέκλεισεν, ὡς ἔφην, καὶ παῖδας δύο ὑπηρετεῖν αὐτοῖς ἅμα ἐνέκλειεν ὀψοποιίας ἕνεκεν καὶ ὑπηρεσίας μετὰ καὶ ταχυγράφων. Ἀλλ' οὔτε θυρίδας τοῖς οἰκίσκοις ἐκείνοις ἐκ τῶν τοίχων ἐποίησεν, ἀλλ' ἄνωθεν ἐκ τῶν δωμάτων τὰς καλουμένας ἀναφωτίδας ἀνέῳξεν. Οἱ δὲ οὕτω διάγοντες ἀπὸ πρωίθεν ἕως ἑσπέρας ὑπὸ κλεῖδα συγκεκλεισμένοι οὕτως ἡρμήνευσαν. Ἑκάστῃ δὲ ζυγῇ βίβλος μία ἐπεδίδοτο, ὡς εἰπεῖν ἡ βίβλος τῆς τοῦ κόσμου Γενέσεως μιᾷ ζυγῇ, ἡ Ἔξοδος τῶν υἱῶν Ἰσραὴλ τῇ ἄλλῃ ζυγῇ, ‹τὸ› Λευιτικὸν τῇ ἄλλῃ καὶ καθ' ἑξῆς ἄλλη βίβλος τῇ ἄλλῃ. Καὶ οὕτως αἱ εἴκοσι ἑπτὰ βίβλοι αἱ ῥηταὶ καὶ ἐνδιάθετοι, εἴκοσι δὲ καὶ δύο κατὰ τὴν τοῦ ἀλφαβήτου παρ' Ἑβραίοις στοιχείωσιν ἀριθμούμεναι ἡρμηνεύθησαν.

4. Εἴκοσι γὰρ καὶ δύο ἔχουσι στοιχείων ὀνόματα, πέντε δέ εἰσιν ἐξ αὐτῶν διπλούμεναι. Τὸ γὰρ χὰφ ἔστι διπλοῦν καὶ τὸ μὲμ καὶ τὸ νοῦν καὶ τὸ φὶ καὶ τὸ σαδέ. Διὸ καὶ αἱ βίβλοι κατὰ τοῦτον τὸν τρόπον εἴκοσι δύο μὲν ἀριθμοῦνται, εἴκοσι ἑπτὰ δὲ εὑρίσκονται, διὰ τὸ πέντε ἐξ αὐτῶν διπλοῦσθαι. Συνάπτεται γὰρ ἡ Ῥοὺθ τοῖς Κριταῖς καὶ ἀριθμεῖται παρ' Ἑβραίοις μία βίβλος. Συνάπτεται ἡ πρώτη τῶν Παραλειπομένων τῇ δευτέρᾳ καὶ λέγεται μία βίβλος. Συνάπτεται ἡ πρώτη τῶν Βασιλειῶν τῇ δευτέρᾳ καὶ λέγεται μία βίβλος. Συνάπτεται ἡ τρίτη τῇ τετάρτῃ καὶ λέγεται μία βίβλος. Συνάπτεται ἡ πρώτη τοῦ Ἔσδρα τῇ δευτέρᾳ καὶ γίνεται μία βίβλος. Οὕτως οὖν σύγκεινται αἱ βίβλοι ἐν πεντατεύχοις τέτταρσι καὶ μένουσιν ἄλλαι δύο ὑστεροῦσαι, ὡς εἶναι τὰς ἐνδιαθέτους βίβλους οὕτως· πέντε μὲν νομικάς, Γένεσιν, Ἔξοδον, Λευιτικόν, Ἀριθμούς, Δευτερονόμιον· αὕτη ἡ πεντάτευχος ἡ καὶ νομοθεσία· πέντε δὲ στιχήρεις· ἡ τοῦ Ἰὼβ βίβλος, εἶτα τὸ Ψαλτήριον, Παροι-

84 post ὁ add. ρηθεὶς J L VS $Lag^r$ 85 ὑπηρετῶν Op. 86 ἐνέκλεισεν Lag. ἕνεκεν ὀψοποιίας (ὀψιποιίας $V_2$) $V_1$ $V_2$ 87 οὐδὲ Lag. θυρία $V_1$ $V_2$ 88 ἀλλὰ ἄνωθεν $V_1$ $V_2$ 89 οὕτως οὕτως VS 90 μιᾷ δὲ καὶ ἑκάστῃ $V_1$ $V_2$ 91 μία ζυγὴ $V_2$ ἡ om. $V_1$ $V_2$ 92 τὸ om. $V_1$ $V_2$ J L VS $Lag^r$ Λευητικὸν Op. καθεξῆς $V_1$ $V_2$ J L καθεξ ἧς VS 93 κζ' $V_1$ $V_2$ κβ' δὲ $V_1$ $V_2$ 94 τῶν ἑβραίων τοῦ ἀλφαβήτου $V_1$ $V_2$ 96 κβ' γὰρ ἔχουσι τῶν στοιχείων τὰ ὀνόματα $V_1$ $V_2$ νοήματα J VS σήματα $Lag^r$ ἐστιν $V_2$ 97 διπλούμενα L κὰφ Op. Pet. Dind. μὶμ $Lag^r$ μὴμ Lag. οὖν J L VS $Lag^r$ οὒμ $V_1$ $V_2$ 98 αδὶ $V_1$ J(;) ἄδη $V_2$ L ακ VS α (ἀκολούθως ἐσβεσμένον) Op. ἄλεφ Pet. ζάδε Dind. σαδὲ om. $Lag^r$ (ἐσβεσμένον) κβ' $V_1$ $V_2$ 99 κζ' $V_1$$V_2$ 101 - 102 Συνάπτεται... βίβλος om. Lag. (Ὑπὸ τοῦ De Lagarde τίθεται τοῦτο ἐν στ. 103 μετὰ τὰς βίβλους τῶν Βασιλειῶν). 102 - 103 Συνάπτεται... βίβλος (ἐπαναλαμβάνεται δὶς ἐν VS). 103 μετὰ τῆς τετάρτης VS καὶ γίνεται Lag. 103 - 104 Συνάπτεται... βίβλος om. $V_1$ $V_2$ J L VS $Lag^r$ 104 Οὕτως γοῦν Op. Pet. 105 ὑστεροῦσαι om. Lag. 107 αὕτη πεντάτευχος $V_1$ $V_2$ post αὕτη add. ἐστὶν L καὶ ἡ VS $Lag^r$ 108 πέντε γὰρ L VS $Lag^r$ ἡ om. $V_1$ $V_2$ 108 - 109 Παροιμία $Lag^r$

μίαι Σολομῶντος, Ἐκκλησιαστής, Ἆσμα Ἀσμάτων. Εἶτα ἄλλη πεντάτευχος τὰ καλούμενα Γραφεῖα, παρά τισι δὲ Ἁγιόγραφα λεγόμενα, ἅτινά ἐστιν οὕτως· Ἰησοῦ τοῦ Ναυῆ βίβλος, Κριτῶν μετὰ τῆς Ρούθ,Παραλειπομένων πρώτη μετὰ τῆς δευτέρας, Βασιλειῶν πρώτη μετὰ τῆς δευτέρας, Βασιλειῶν τρίτη μετὰ τῆς τετάρτης. Αὕτη τρίτη πεντάτευχος. Ἄλλη πεντάτευχος τὸ δωδεκαπρόφητον, Ἡσαΐας, Ἱερεμίας, Ἰεζεκιήλ, Δανιήλ. Καὶ εἶτα ἐπληρώθη ἡ προφητικὴ πεντάτευχος. Ἔμειναν δὲ ἄλλαι δύο, αἵτινές εἰσι τοῦ Ἔσδρα, δύο εἰς μίαν λογιζόμεναι, καὶ ἡ ἄλλη βίβλος ἡ τῆς Ἐσθήρ. Καὶ ἐκπληρώθησαν αἱ εἴκοσι δύο βίβλοι κατὰ τὸν ἀριθμὸν τῶν εἴκοσι δύο στοιχείων παρ᾽ Ἑβραίοις. Αἱ γὰρ στιχήρεις δύο βίβλοι, ἥ τε τοῦ Σολομῶντος, ἡ Πανάρετος λεγομένη, καὶ ἡ τοῦ Ἰησοῦ τοῦ υἱοῦ Σειράχ, ἐκγόνου δὲ τοῦ Ἰησοῦ, (ὁ γὰρ πάππος αὐτοῦ Ἰησοῦς ἐκαλεῖτο), τοῦ καὶ τὴν σοφίαν ἑβραϊστὶ γράψαντος, ἣν ὁ ἔκγονος αὐτοῦ Ἰησοῦς ἑρμηνεύσας ἑλληνιστὶ ἔγραψε. Καὶ αὗται χρήσιμοι μέν εἰσι καὶ ὠφέλιμοι, ἀλλ᾽ εἰς ἀριθμὸν τῶν ρητῶν οὐκ ἀναφέρονται. Διὸ οὐδὲ ἐν τῷ ἀαρὼν ἐνετέθησαν, τουτέστιν ἐν τῇ τῆς διαθήκης κιβωτῷ.

5. Ἀλλὰ καὶ ἔτι τοῦτό σε μὴ παρέλθῃ, ὦ φιλόκαλε, ὅτι καὶ τὸ Ψαλτήριον διεῖλον εἰς πέντε βιβλία οἱ Ἑβραῖοι, ὥστε εἶναι καὶ αὐτὸ ἄλλην πεντάτευχον. Ἀπὸ γὰρ πρώτου ψαλμοῦ ἄχρι τεσσαρακοστοῦ μίαν ἐλογίσαντο βίβλον· ἀπὸ δὲ τεσσαρακοστοῦ πρώτου ἄχρι τοῦ ἑβδομηκοστοῦ πρώτου δευτέραν ἡγήσαντο· ἀπὸ ἑβδομηκοστοῦ δευτέρου ἕως ὀγδοηκοστοῦ ὀγδόου τρίτην βίβλον ἐποιήσαντο· ἀπὸ δὲ ὀγδοηκοστοῦ ἐνάτου ἕως

110 γραφεῖα καλούμενα $V_1$ $V_2$ 111 Ναβῆ $V_2$ 112 post Παρλ... δευτέρας add. συνάπτεται τὸ πρῶτον βιβλίον τῷ δευτέρῳ καὶ γίνεται μία $V_1V_2$ 112 - 113 Βασιλειῶν πρώτη μετὰ τῆς τετάρτης Pet. 113 post αὕτη add. δὲ $V_1V_2$ 113 - 114 ἄλλην πεντάτευχον προφητῶν. Τὸ δωδεκαπρόφητον μία βίβλος, Ἡσαΐας $V_1V_2$ 114 - 115 δωδεκαπρόφητον βίβλος μία, Ἡσαΐας μία, Ἱερεμίας μία, Ἰεζεκιὴλ μία, Δανιὴλ μία. Καὶ αὕτη ἡ προφητικὴ πεντάτευχος J L VS Lag$^r$ καὶ πάλιν ἐτελέσθη πεντάτευχος ἡ προφητικὴ $V_1V_2$ 116 τοῦ Ἔσδρα, μία καὶ αὕτη λογιζομένη J L VS Lag$^r$ Lag. καὶ ἄλλη L VS Lag$^r$ Lag. 116 - 117 ἥτις τῆς Ἐσθὴρ L 117 Ἐσθὴσ L VS εὐθης Lag$^r$ τῆς Ἐσθὴρ ἡ βίβλος $V_1$ $V_2$ Ἐσθὴρ καλεῖται J L VS Καὶ om. L VS Lag$^r$ Lag. post ἐπληρώθησαν add. οὖν J L VS Lag$^r$ Lag. κβ΄ $V_1$ $V_2$ 118 κβ΄ βίβλων τῶν Ἑβραϊκῶν $V_1$ $V_2$ 119 - 120 Σιρὰχ $V_1$ $V_2$ J L VS Lag$^r$ 120 δὲ Ἰησοῦ $V_1$ $V_2$ (ὁ γὰρ... ἐκαλεῖτο) om. J L VS Lag$^r$ ἐλέγετο $V_1$ $V_2$ 120 - 121 ὁ τὴν σοφίαν γράψας ἑβραϊστὶ $V_1$ $V_2$ 121 ἑβραϊστὴ VS ὁ om. Lag$^r$ αὐτοῦ om. $V_1$ $V_2$ 122 μὲν χρήσιμοι $V_1$ $V_2$ εἰσὶ om. $V_1$ $V_2$ 123 τῶν om. $V_1$ $V_2$ J L VS Lag$^r$ διὸ δὲ J VS Lag$^r$ ἀρὼν Dind. Lag. ἀνετέθησαν $V_1$ $V_2$ J L VS Lag$^r$ (?) Lag$^s$ (?) 124 τοῦ τε J VS Lag$^r$ τοῦτ᾽ ἐστὶν Lag$^s$ 125 παρέλθοι J L VS Lag$^r$ Lag. 126 ε΄ βιβλία J VS αὐτὴν $V_1$ $V_2$ 127 post γὰρ add. τοῦ $V_2$ 127 - 128 μίαν εἰσηγήσαντο $V_2$ 128 ἀπὸ δὲ τοῦ τεσσακακοστοῦ α΄ Lag$^r$ ἀπὸ δὲ μα΄ $V_1$ $V_2$ L 128 - 129 ἕως οα΄ $V_1$ $V_2$ ἄχρι τοῦ οα΄ L 129 μίαν εἰσηγήσαντο $V_2$ εἰσηγήσαντο $V_1$ 129 οβ΄ $V_1$ $V_2$ ἄχρι Lag$^r$ 129 - 130 πη΄ $V_1$ $V_2$ 130 τρίτον βιβλίον J L VS Lag$^r$ Lag. πθ΄ $V_1V_2$ ἐννάτου ἐννάτου J ἐννάτου L VS Lag$^r$

ἑκατοστοῦ πέμπτου τετάρτην ἐποίησαν· ἀπὸ δὲ ἑκατοστοῦ ἕκτου ἕως τοῦ ἑκατοστοῦ πεντηκοστοῦ τὴν πέμπτην συνέθηκαν. Ἕκαστον γὰρ ψαλμὸν ἔχοντα ἐν τῷ τέλει τὸ εὐλογητὸς Κύριος, γένοιτο, γένοιτο, τέλος εἶναι βιβλίου ἐδικαίωσαν. Εὑρίσκεται δὲ τοῦτο ἔν τε τῷ τεσσαρακοστῷ καὶ ἐν τῷ ἑβδομηκοστῷ πρώτῳ καὶ ἐν τῷ ὀγδοηκοστῷ ὀγδόῳ καὶ ἐν τῷ ἑκατοστῷ πέμπτῳ. Καὶ ἐπληρώθησαν αἱ τέσσαρες βίβλοι. Ἐν δὲ τῷ τέλει τῆς πέμπτης βίβλου ἀντὶ τοῦ εὐλογητὸς Κύριος γένοιτο γένοιτο τὸ «πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον, ἀλληλούια»[1]. Οὕτω γὰρ λογισάμενοι τὴν περὶ τούτου πᾶσαν ὑπόθεσιν ἀνεπλήρωσαν. Αὗται τοίνυν αἱ εἴκοσι καὶ ἑπτὰ εἴκοσι δύο δὲ ἀριθμούμεναι μετὰ καὶ τοῦ Ψαλτηρίου καὶ τῶν ὄντων ἐν τῷ Ἱερεμίᾳ φημὶ δὲ καὶ τῶν Θρήνων καὶ τῶν ἐπιστολῶν Βαρούχ τε καὶ Ἱερεμίου, εἰ καὶ οὐ κεῖνται αἱ ἐπιστολαὶ παρ' Ἑβραίοις, ἢ μόνον ἡ τῶν Θρήνων τῷ Ἱερεμίᾳ συναφθεῖσα, τὸν τρόπον ὃν εἴπομεν ἡρμηνεύθησαν κατὰ περίοδον ἑκάστῃ ζυγῇ ἑρμηνευτῶν ἐπιδιδόμεναι καὶ ἀπὸ τῆς πρώτης ζυγῆς τῇ δευτέρᾳ καὶ πάλιν ἀπὸ τῆς δευτέρας τῇ τρίτῃ καὶ οὕτω παρῆλθον κυκλεύουσαι ἑκάστη τριακοντάκις καὶ ἑξάκις ἑρμηνευθεῖσαι, ὡς δ' ᾄδεται λόγος καὶ αἱ εἴκοσι δύο καὶ ἑβδομήκοντα δύο τῶν ἀποκρύφων.

6. Ὅτε δὲ ἐτελειώθησαν ἐκαθέσθη ὁ βασιλεὺς ἐπὶ θρόνου ὑψηλοῦ καὶ τριάκοντα ἓξ ἀναγνῶσται καὶ αὐτοὶ ἐκαθέσθησαν ταπεινότερον, ἔχοντες ἑκάστης βίβλου τὰ τριάκοντα ἓξ ἰσότυπα καὶ εἷς ἔχων τῆς βίβλου τῆς ἑβραϊκῆς ἀντίγραφον. Ἑνὸς δὲ ἀναγινώσκοντος ἀναγνώστου καὶ τῶν ἄλλων ἐπε-

1. Ψαλμ. 150, 6

131 ρε' $V_1 V_2$ τέταρτον J ἐποιήσαντο $V_1$ 131 - 132 ρστ' ἕως τοῦ ρν' $V_1$ L 131 - 136 τετάρτην... πέμπτῳ om. $V_2$ 133 ἐν τῷ τέλει ἔχοντα $V_1$ τὸ om. J VS $Lag^r$ 134 - 135 ἐν τε τῷ τεσσαρακοστῷ καὶ om. $V_1$ μ' L 135 - 136 ἐν τῷ μὴ καὶ ρε' $V_1$ 136 ρε' L Καὶ ἐπληρώθησαν αἱ τέσσαρες βίβλοι om. J L VS $Lag^r$ δ' $V_1 V_2$ 136 - 137 καὶ τῆς πέμπτης βίβλου τὸ πλήρωμα $V_1 V_2$ τῆς δὲ πέμπτης βίβλου τὸ τέλος Lag. 137 post γένοιτο add. τέθειται J L VS $Lag^r$ 138 τὸ om. $Lag^s$ Lag. 138 - 139 Οὕτω γὰρ... ἀνεπλήρωσαν om. J L VS $Lag^r$ Lag. 140 κζ' $V_1$ $V_2$ post ἑπτὰ add. βίβλοι J L VS δὲ om. $V_2$ 141 δὲ καὶ τῶν Θρήνων om. $V_1$ $V_2$ L post Θρήνων add. αὐτοῦ J L VS $Lag^r$ 142 τε om. Lag. τε καὶ Ἱερεμίου om. J L VS $Lag^r$ αἱ om. J L VS $Lag^r$ 142 post Ἑβραίοις add. ἀλλ' Lag. 143 εἶπον $Lag^r$ 143 - 144 εἴπομεν ἑρμηνευθεῖσα $V_1$ $V_2$ 144 ἡρμηνεύθεισαν J 146 κελεύουσαι J L VS $Lag^r$ τριακονταεξάκις J L VS $Lag^r$ Lag. 146 - 147 ἑρμηνευθεῖσα $V_1$ 147 δ' om. $V_1$ $V_2$ J L VS $Lag^r$ 147 αἱ om. $V_1$ $V_2$ VS $Lag^r$ κβ' $V_1$ $V_2$ καὶ ἑβδομήκοντα δύο om. $V_1$ $V_2$ J L VS $Lag^r$ 149 ἐτελέσθησαν $V_2$ 150 λστ' $V_1$ $V_2$ καὶ αὐτοὶ ἐκαθέσθησαν ταπεινότερον om. J L VS $Lag^r$ ἐκαθέσθησαν χαμαιζήλως $V_1 V_2$ 151 λστ' $V_1$ $V_2$ ἰσοέτυπα J $Lag^r$ ἰσέτυπαVS ἓξ ὧν εἷς Pet. Dind. ἓξ εἷς J VS ἓξ ἧς $Lag^r$ 151 - 152 βίβλου τὸ ἑβραϊκὸν ἀντίγραμμα $V_1$ $V_2$ 152 δὲ om. Lag. ἑνὸς ἀναγνώστου ἀναγινώσκοντος μόνου $V_1$ $V_2$ 152 - 153 ἀπεχόντων $V_2$

χόντων οὐχ εὑρέθη διαφωνία, ἀλλὰ Θεοῦ θαυμάσιον ἔργον εἰς τὸ γνωσθῆναι, ὅτι πνεύματος ἁγίου ἔσχον δωρεὰν ἐκεῖνοι οἱ ἄνδρες ὁμοφωνήσαντες ἐν τῇ ἑρμηνείᾳ καὶ ὅπου μὲν προσέθεντο λόγον πάντες ὁμοῦ προσέθεντο, ὅπου δὲ ἀφείλοντο πάντες ἐπ' ἴσης ἀφείλοντο. Καὶ ὧν μὲν ἀφείλοντο οὐκ ἔστι χρεία, ὧν δὲ προσέθεντο ἔστι χρεία. Εἰς δὲ τὸ γενέσθαι σοι σαφὲς τὸ εἰρημένον, ὅτι θαυμαστῶς κατὰ Θεοῦ οἰκονομίαν καὶ ἐκ συμφωνίας πνεύματος ἁγίου συμφώνως ἡρμήνευσαν, καὶ πρὸς ἀλλήλους οὐ διηνέχθησαν, ὅπως ἂν ἐκ τούτου γνοὺς καὶ πεισθεὶς συναινέσῃς τῷ ἡμετέρῳ λόγῳ παρέξω σοι ἐνταῦθα διὰ μικροῦ λόγου τὴν τούτων ἀπόδειξιν. Ἐν τῷ ἑκατοστῷ τεσσαρακοστῷ ψαλμῷ ἔκειτο ἐν τῷ ἑβραϊκῷ οὕτως «Ἀδωναΐ ἐλὰχ καριθὶ ἰσμαὴλ ἰεββητὰ ἀκὼλ», ἅ ἐστιν ἑρμηνευόμενα «Κύριε ἐκέκραξα πρὸς σέ, εἰσάκουσόν μου· πρόσχες τῇ φωνῇ»[1]. Οὐκ ἔχει δὲ τὸ ἑβραϊκὸν «τῆς δεήσεώς μου»[2]. Ὅρα οὖν, πῶς χωλὸν εὑρίσκεται. Οἱ δὲ ἑβδομήκοντα δύο ἑρμηνευταὶ προστεθεικότες τὸ «τῆς δεήσεώς μου» ἀχώλαντον ἐποίησαν τὸν στίχον καὶ ἡρμήνευσαν «Κύριε ἐκέκραξα πρὸς σέ, εἰσάκουσόν μου· πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου»[3]. Καὶ ὅρα πῶς εὐδιόρθωτος ᾄδεται ὁ ψαλμός. Ἐπίστηθι τοίνυν ἀπὸ τοῦ βραχυτάτου λόγου τοῖς ὁμοίοις αὐτῶν κατὰ τὴν προσθήκην πανταχοῦ ὑπὸ τῶν αὐτῶν ἑρμηνευτῶν κειμένοις, ὅτι καλῶς οἱ λόγοι προσετέθησαν εἰς φράσιν καὶ ὠφέλειαν τῶν μελλόντων ἐθνῶν εἰς τὴν τοῦ Θεοῦ πίστιν ἄγεσθαι καὶ τὴν ἐκ τῶν θείων λόγων τῆς παλαιᾶς καὶ νέας διαθήκης κτᾶσθαι ζωῆς κληρονομίαν.

7. Τῷ δ' αὐτῷ τρόπῳ ὁ Ὠριγένης καλῶς ποιῶν, ὡς περὶ τοῦ ἀστερίσκου

1. Ψαλμ. 140, 1 2. ἔνθ' ἀν. 3. ἔνθ' ἀν.

153 οὐχ om. J L VS Lag$^r$ ηὑρέθη Lag. ἀλλὰ Θεοῦ θαυμάσιον om. VS 154 σχόντες L ἔχοντες J VS Lag$^r$ ὁμοφώνησαν J VS ὡμοφώνησαν L Lag. 155 ἐν τῇ ἐρήμῳ J VS Lag$^r$ μὲν om. J προσετέθειτο λόγος ὑπὸ πάντων ηὑρέθη (εὑρέθη J VS) προστεθειμένος J L VS Lag$^r$ προσέθηκαν $V_1$ $V_2$ 156 ἀφείλε(το) L ὡσαύτως πάντες ἀφείλοντο $V_1$ $V_2$ ἐπίσης εὑρέθησαν ἀφελόμενοι J L VS Lag$^r$ 157 ὧν δὲ προσέθεντο ἔστι χρεία om. $V_1$ $V_2$ ὧν δὲ οὐκ ἀφείλοντο ἔστι χρεία J L VS Lag$^r$ εἰς δὲ τὸ σαφὲς σοι γενέσθαι $V_1$ $V_2$ 159 - 161 διηνέχθησαν, παρέξω σοι διὰ μακροῦ (μικροῦ Lag.) λόγου τὴν τούτων ἀπόδειξιν, ὡς ἂν ἐκ τούτου γνὼς καὶ πεισθεὶς συναινέσῃς τῷ ἡμετέρῳ λόγῳ $V_1$ $V_2$ 161 - 162 ρ′ τεσσαρακοστῷ J VS Lag$^r$ ρμ′ $V_1V_2$ L 162 ἠλιχὰ J VS 162 - 163 ιλιχὰ καρὶθ ἰσμαὴλ ἐβαβιτὰ ἄκωλ $V_1$ ιλχὰ κηρὶθ ἰσμαὴλ ἐβαβιτὰ ἄαωλ $V_2$ ιλιλὰ ἰσμαὴλ καριθὶ ιεββετὰ ἀκὼδ L 163 καρίθ· σμά, ἠλί, ἀββιτὰ ἀκὼλ Lag. 164 πρόσσχες Lag. 164 - 165 οὐκ ἔχει... δεήσεώς μου om. J L VS Lag$^r$ 165 οἱ οὖν οβ′ $V_1$ $V_2$ 166 εὐχώλαντον Op. Pet. Dind. 167 τὸν om. VS 168 πρόσσχες Lag. post ὅρα add. οὖν L εὐδιορθώτως $V_1$ Lag$^s$ ἀδιορθώτως $V_2$ 169 ἐπίστηται $V_2$ βραχητάτου Op. βραχυτάτου... αὐτῶν om. $V_1V_2$ 170 post ὅτι add. καὶ $V_1V_2$ 172 π. καλεῖσθαι Lag$^s$ 173 post κτᾶσθαι add. τὴν τῆς $V_1$ $V_2$ 174 post τρόπῳ add. καὶ Lag. post ὁ add. αὐτὸς $V_1$ $V_2$ ὡς περὶ τοῦ ἀστερίσκου om. $V_1$ $V_2$ J L VS Lag$^r$

ἐποίησεν, οὕτως καὶ περὶ τοῦ ὀβελοῦ τὴν σημείωσιν ἐποιήσατο. Εἴθε οὖν καὶ τὰ ἄλλα οὕτω καλῶς ἐποίησε. Τὰς γὰρ ἓξ ἑρμηνείας καὶ τὴν ἑβραϊκὴν γραφὴν ἑβραϊκοῖς στοιχείοις καὶ ῥήμασιν αὐτοῖς ἐν σελίδι μιᾷ συντεθεικώς, ἄλλην σελίδα ἀντιπαρέθετο δι' ἑλληνικῶν μὲν γραμμάτων ἑβραϊκῶν δὲ λέξεων πρὸς κατάληψιν τῶν μὴ εἰδότων ἑβραϊκὰ στοιχεῖα εἰς τὸ διὰ τῶν ἑλληνικῶν εἰδέναι τῶν ἑβραϊκῶν λογίων τὴν δύναμιν. Καὶ οὕτω τοῖς λεγομένοις ὑπ' αὐτοῦ ἑξαπλοῖς ἢ ὀκταπλοῖς τὰς μὲν δύο ἑβραϊκὰς σελίδας καὶ τὰς ἓξ τῶν ἑρμηνευτῶν ἐκ παραλλήλου ἀντιπαραθεὶς μεγάλην ὠφέλειαν γνώσεως ἔδωκε τοῖς φιλοκάλοις. Εἴθε δὲ καὶ ἐν τοῖς αὐτοῦ συντάγμασι μὴ παρέπεσε καὶ τὸν κόσμον καὶ ἑαυτὸν ἠδίκησε κακῶς δογματίσας τὰ περὶ πίστεως καὶ τὰ πλεῖστα τῶν γραφῶν κακῶς φράσας. Ἀλλὰ περὶ τοῦ ὀβελοῦ αὖθις ἐπιλήψομαι τῆς διηγήσεως. Ἔφαμεν οὖν, ὅτι ὁ ὀβελὸς λόγχη λέγεται· ξίφος δέ ἐστι τοῦτο ἀναιρετικόν. Ἔνθα τοίνυν ἡ λέξις εὑρίσκεται παρὰ μὲν τοῖς ἑβδομήκοντα δύο κειμένη ἐν δὲ τῷ ἑβραϊκῷ μὴ ἐμφερομένη, ἐκ τῆς τοῦ ὀβελοῦ σημειώσεως τοῦ τῇ λέξει παρακειμένου δηλοῦται ὅτι ἀνῄρηται ὁ λόγος ἀπὸ τοῦ γεννητικοῦ τόπου, ἤτοι τοῦ ἐδάφους τῆς γραφῆς, ὡς μὴ ὑπάρχων ἐν τῷ τόπῳ τῆς βίβλου. Καὶ ταῦτα μὲν περὶ τοῦ ἀστερίσκου καὶ τοῦ ὀβελοῦ διηγησάμην.

8. Λοιπὸν καὶ περὶ τοῦ λιμνίσκου καὶ ὑπολιμνίσκου διηγητέον. Λιμνίσκον γοῦν, τὸν οὕτω γραφόμενον ὡς ἔχει τὸ προκείμενον σημεῖον ÷, ὅ ἐστι γραμμὴ μία μεσολαβουμένη ὑπὸ κεντημάτων δύο, εἴτ' οὖν στιγμῶν, μιᾶς μὲν ἐπάνω οὔσης, τῆς δὲ ἄλλης ὑποκάτω, παρὰ ἰατροῖς φυσιολογικῶς ηὑρῆσθαί φασι, καὶ ὠνομάσθαι ἀπὸ τῆς κατὰ τὸ σῶμα χειρουργίας, δύο μὲν ἁπλῶν τομῶν διαιρουμένων εἴτ' οὖν τεμνομένων, μέσον δὲ τῶν δύο διαιρέσεων τοῦ τμηθέντος τόπου διὰ τὰς παρ' ἑκατέρας ἁπλᾶς δύο τομὰς ὀβελοῦ

175 post τοῦ add. ἑνὸς Lag$^{s}$ 177 μιᾷ J VS 178 ἀντιπαράθετον J L VS Lag$^{r}$ οἱ ἑλληνικῶν Pet. ἑλληνικῆς VS δι' ἑβραϊκῶν $V_1$ $V_2$ 180 οὕτως L VS 180-181 γενομένοις Lag. 181 παρ' αὐτοῦ $V_1$ $V_2$ 183 καὶ om. $V_1$ $V_2$ μὴ om. $V_1$ $V_2$ 184 καὶ ἑαυτὸν καὶ τὸν κόσμον J L VS Lag$^{r}$ 185 γρ. οὐκ ὀρθῶς Lag$^{s}$ (?) 186 οὖν om. $V_1$ $V_2$ J VS Lag$^{r}$ ὁ om. $V_1$ $V_2$ 188 οβ' $V_1$ $V_2$ κειμένους J κειμένοις VS ἀναφερομένη $V_1$ $V_2$ L ἀναφερομένους J (;) Lag$^{r}$ ἀναφερομένοις VS 189 ἀναιρεῖ καὶ $V_1 V_2$ 190 γενητικοῦ J VS Lag$^{r}$ γενικοῦ $V_1 V_2$ L post ἤτοι om. τοῦ $V_2$ 191 post τῆς add. ἑβραϊκῆς Lag. 192 ἐδιηγησάμην $V_2$ 193 Περὶ δὲ τοῦ λιμνίσκου καὶ τοῦ ὑπολιμνίσκου διηγητέον $V_1$ Περὶ δὲ τοῦ λιμνίσκου διηγητέον $V_2$ 194 γοῦν om. $V_1$ $V_2$ (ἐσβεσμένον) Lag$^{s}$ τὸν οὗ om. $V_2$ (ἐσβεσμένα) τὸ προκείμενον σημεῖον ÷ om. $V_1$ $V_2$ (ἐσβεσμένα) ÷ σημεῖον J L VS Lag$^{r}$ ὅ om. J VS Lag$^{r}$ 195 μεσολαβομένη Op. εἴτουν $V_2$ 196 δὲ om. $V_1$ $V_2$ 196-197 εὑρέθη τε $V_1$ $V_2$ εὑρᾶσθαι J εὕρασθαι L εὑρᾶσθαι VS Lag$^{r}$ 197 φασι om. $V_1$ $V_2$ Lag$^{s}$ ὠνομάσθη $V_1$ $V_2$ ὀνομᾶσθαι VS Lag$^{r}$ χειρουργείας VS 198 εἴτουν $V_1$ $V_2$ 198-199 αἱρέσεων $V_1$ $V_2$ J L VS Lag$^{r}$ 199 διαστὰς παρ' J VS Lag$^{r}$ ἁπλῶς Op. Pet. Dind.

Στ. 193 Ἀντὶ «λοιπὸν» καὶ «διηγητέον» κατὰ τὸ S πιθανῶς «ἀλλὰ... διηγοῦμαι» Lag$^{s}$

σχῆμα τοῦ σώματος ἀποτελοῦντος. Μοτοῦ δὲ (ὅ ἐστι λινοῦν ράκος, εἰς λεπτὸν καὶ μακρὸν σχῆμα ἀποτμηθὲν) ἐμβαλλομένου ἀπὸ τῆς μιᾶς διαιρέσεως καὶ εἰς τὴν ἄλλην διαπερῶντος, λιμνίσκος ὑπ᾿ αὐτῶν τῶν ἰατρῶν καλῶς ἐκλήθη διὰ τὸ λιμνάζειν κλυζόμενον τὸν μοτὸν ἐν τοῖς τοῦ τόπου ὑγροῖς. Διὸ καὶ τοῦτο τὸ τοῦ σημείου σχῆμα τοῖς θείοις λόγοις παρέθετο, ἵν᾿, ὅτε σπανίως που εὕροις ἐν τῇ τῶν ἑβδομήκοντα δύο ἑρμηνείᾳ διαφωνοῦσαν λέξιν, οὐ μὴν δὲ ἐλλείπουσαν οὐδὲ προστεθειμένην ταῖς ὁμοίαις αὐτῇ λέξεσι, γνοίης ὅτι ὑπὸ μιᾶς ζυγῆς ἢ δύο αὕτη ἡρμηνεύθη ἡ λέξις διὰ τὰ παρακείμενα δύο κεντήματα. Καλεῖται δὲ ταῦτα συναμφότερα ἢ ὅμοια. Ἵνα δὲ καὶ τοῦτο λεῖόν σοι εἴη καὶ εὐπερίδρακτον καὶ περὶ τούτου ἐρῶ. Ὅταν εὕρῃς ὡς ἐν ἑβδομηκοστῷ ψαλμῷ ἐμφέρεται «τὸ στόμα μου ἀναγγελεῖ τὴν δικαιοσύνην σου»[1] ἀντὶ τοῦ «ἀναγγελεῖ τὴν δικαιοσύνην σου», «ἀναγγελεῖ τὰς δικαιοσύνας σου». Πάλιν δὲ ἐν τῷ ἑβδομηκοστῷ πρώτῳ ψαλμῷ «καὶ ἔντιμον τὸ ὄνομα αὐτῶν ἐνώπιον αὐτοῦ»[2]. Ἀντὶ δὲ τούτου πρόκειται, καὶ «ἔντιμον τὸ ὄνομα αὐτῶν ἐν ὀφθαλμοῖς αὐτοῦ». Καὶ οὕτως εἰς πολλοὺς τόπους εὕροις οὐδὲν μὲν ἐλλιπὲς ὑπάρχον οὐδὲ παρηλλαγμένον, ἀλλὰ τὸ αὐτὸ μὲν ὑπάρχον διαφόρως δὲ ὀνομαζόμενον, ὡς εἶναι οὐ παρὰ ταῦτα ἄλλα συναμφοτέρως ἐκφωνούμενα. Οὕτω διὰ τὸν λιμνίσκον ἐσημειώθη ὡς παρὰ μιᾷ ζυγῇ ἢ δυσὶ ζυγαῖς εὑρεθέντος τοῦ οὕτως ἐκφωνηθέντος λόγου. Καὶ ταῦτα πάλιν περὶ λιμνίσκου εἴπομεν. Τὸν αὐτὸν δὲ τρόπον καὶ περὶ τοῦ ὑπολιμνί-

1. Ψαλμ. 70, 15 2. Ψαλμ. 71, 14.

200 τοῦ τὸ σῶμα $V_1$ $V_2$ τοῦ δὲ μότου $V_1$ $V_2$ Μοτοῦ om. J VS $Lag^r$ Τοῦ δὲ μοτοῦ L 201 ἀποτμηθέντος $V_1$ $V_2$ J L VS $Lag^r$ ἐκβαλλομένου $V_2$ 203 τὸν μότον $V_1$ τὸν αὐτὸν $V_2$ τοῦ om. J L VS $Lag^r$ 204 παρέθεντο $V_1$ $V_2$ $Lag^s$ 205 εὕρῃς $V_2$ οβ′ $V_1$ $V_2$ 206 οὐ μὴν παρὰ οὖσαν $V_1$ J L VS $Lag^r$ οὐ μὴν παροῦσαν $V_2$ μὴ παρὰ οὖσαν Pet. προτεθειμένην J $Lag^r$ προστεταγμένην Op. περιτεθειμένην Pet. ἰδίαις αὐτῆς $V_2$ 207 γνῶς $V_1$ $V_2$ γνοὺς J L $Lag^r$ γνοῖς VS post δύο add. ζυγῶν $V_1$ $V_2$ ἡρμήνευται $V_1$ $V_2$ 208 κεκτήματα Pet. post ταῦτα add. τὰ L $Lag^r$ καὶ om. Op. 209 περὶ τοῦτο J VS $Lag^r$ εὑρήσω $V_1$ $V_2$ 210 ο′ ψαλμῷ $V_1$ οῳ ψαλμῷ $V_2$ 211 ἀντὶ τοῦ ἀναγγελεῖ τὴν δικαιοσύνην σου om. $V_1$ $V_2$ J L VS $Lag^r$ 212 οα′ $V_1$ οαῳ $V_2$ ψαλμῷ φησὶ $V_1$ $V_2$ 213 ὄνομα αὐτοῦ VS $Lag^r$ πρόσκειται $V_1$ 214 ὄνομα αὐτοῦ Op. Pet. Dind. 214 - 215 εὕρῃς $V_2$ 215 ἐλλιπῶς ἔχον $V_1$ $V_2$ ὑπάρχον om. $Lag^r$ οὔτε J L VS $Lag^r$ παρηλλαγμένως $V_1 V_2$ 216 ὑπάρχει $V_1$ $V_2$ διαφόρως τε J L VS ὀνομάζεται $V_1$ $V_2$ οὐ πατέρα ἀλλὰ Op. Pet. ταῦτα om. $V_1$ $V_2$ J L VS $Lag^r$ 217 ἐκφωνοῦται J VS $Lag^r$ ἐκφωνοῦνται $Lag^r$ Ταῦτα δὲ οὕτως $V_1 V_2$ Lag. Ταῦτα διὰ τὸν (τῶν L) J L VS $Lag^r$ λιμνίσκων L ἐσημειώθη διὰ τὸν λιμνίσκον $V_1$ ἐσ. διὰ τῶν λιμνίσκων $V_2$ L 217 - 218 μιᾶς ζυγῆς J L VS $Lag^r$ Lag. 218 εὑρεθέντων $V_2$ ἢ δύο ἡρμηνευμένης τῆς εὑρισκομένης λέξεως L 218 - 219 ἢ δύο ἡρμηνευμένης τε καὶ εὑρισκομένης λέξεως. Οὕτως ταῦτα καὶ περὶ λιμνίσκου J VS $Lag^r$ ἢ δύο εὑρημένης λέξεως τῆς οὕτως εἰρημένης. Ἀρκούντως ταῦτα καὶ περὶ λιμνίσκου Lag.

σκου δηλώσομεν, ὅπως γνῷς, ὅτι ὅπου εὑρίσκεται τὸ σημεῖον τοῦτο ὑποκείμενον, ὅ ἐστιν ἁπλῆ γραμμή, ὀβελοῦ τὸ σχῆμα ἔχουσα, ὑποκειμένην δὲ ἔχουσα στιγμὴν ἤγουν κέντημα, τοῦτο τὸ σημεῖον τοῦ ὑπολιμνίσκου τύπον δηλοῖ. Ὅπου οὖν εὑρεθῇ λέξει τινὶ παρακείμενος, δηλοῦται ὑπὸ μιᾶς που ζυγῆς ἑρμηνευτῶν ἐξενεχθεὶς ὁ λόγος, καθ' ὃ ἡ μία στιγμὴ ὑποφαίνει. Καί ἐστι καὶ αὐτὸ συναμφότερον ἢ συνάδελφον τῇ λέξει, ᾗ ἐπίκειται. Αὕτη ἐστὶν ἡ ἡμῶν περὶ ἀστερίσκου καὶ ὀβελοῦ καὶ λιμνίσκου καὶ ὑπολιμνίσκου φράσις, φιλοκαλώτατε.

9. Δεῖ δὲ ἡμᾶς καὶ αὐτῶν τῶν εἰρημένων τὴν ὑπόθεσιν δηλῶσαι. Χρησιμεύσει γάρ σοι καὶ ἡ περὶ τούτων γνῶσις ἐξ αὐτῆς τῆς ἐπιβολῆς τῆς περὶ αὐτῶν διηγήσεως, ὑποδεικνύουσα τίς, πόθεν καὶ πότε καὶ γένους ποίου ἕκαστος αὐτῶν ὑπῆρξε, καὶ τοῦ ἑρμηνεῦσαι τίς αὐτῷ γέγονεν ἡ αἰτία. Καὶ πρῶτοι μὲν ἑρμηνευταὶ γεγόνασι τῆς αὐτῆς θείας γραφῆς ἀπὸ ἑβραϊκῆς διαλέκτου εἰς ἑλληνίδα ἑβδομήκοντα δύο ἄνδρες τὸν ἀριθμόν, τὴν αὐτὴν πρώτην ἑρμηνείαν ἐπὶ Πτολεμαίου τοῦ Φιλαδέλφου ἑρμηνεύσαντες, οἵτινες ἐξελέγησαν ἐκ τῶν δώδεκα φυλῶν τοῦ Ἰσραήλ, ἓξ ἄνδρες κατὰ φυλήν, ὡς ἐξέδωκεν Ἀρισταῖος ἐν τῷ αὐτοῦ συντάγματι. † Τὰ δὲ ὀνόματα αὐτῶν ἐστι τάδε. Πρῶτον ἐκ φυλῆς Ρουβὴν Ἰωσῆ, Ἐζεκίας, Ζαχαρίας, Ἰωάννης, Ἐζεκίας, Ἐλισσαῖος. Δεύτερον ἐκ φυλῆς Συμεὼν Ἰούδας, Σίμων, Σαμούηλος, Ἀδαῖος, Ματταθίας, Σελεμίας. Τρίτον ἐκ φυλῆς Λευὶ Νεεμίας, Ἰώσηφος, Θεοδόσιος, Βασαῖος, Ὀρνίας, Δάκις. Τέταρτον ἐκ φυλῆς Ἰούδα Ἰωνάθαν, Ἀβραῖος, Ἐλισσαῖος, Ἀνανίας, Ζαχαρίας, Χελκίας. Πέμπτον ἐκ φυλῆς Ἰσσάχαρ Ἴσακος, Ἰάκωβος, Ἰη-

220 δηλοῦμεν $V_1$ $V_2$ ὅπου δ' ἂν εὑρίσκηται $V_1$ $V_2$ 220 - 221 ἵνα εἰδῇς, ὅταν εὕρῃς σημεῖον τοῦτο κείμενον ÷ $Lag^s$ Lag. δηλώσομεν ὁ γοῦν ὑπολιμνίσκος τοιοῦτον ἐστὶ σημεῖον ÷ ἁπλῆ δηλονότι γραμμὴ J L VS $Lag^r$ 221 - 222 ὀβελοῦ ἔχουσα τὸ σχῆμα, στιγμὴν ἤγουν κέντημα ὑποκάτω ἔχουσα $V_1$ $V_2$ 222 τοῦ om. Lag. 222 - 223 κέντημα ἔνθα γοῦν εὕροις τοιοῦτον σημεῖον, ὑπολιμνίσκου (σκον L) αὐτὸ γίνωσκε εἶναι. Δύναμιν δὲ ταύτην ἔχει J L VS $Lag^r$ ἔχει ταύτην Op. Pet. ὑπολιμνίσκου σημαίνει τὸν χαρακτῆρα. Ἔνθα τοίνυν εὑρίσκεται λέξει παρακείμενος $V_1V_2$ 223 ὅπου γὰρ J VS $Lag^r$ τινι om. $Lag^s$ που om. J VS $Lag^r$ 224 καθὼς $V_2$ ἀποφαίνει $V_2$ 225 ἔτι L ἐστὶ αὐτὸ VS ἔτι αὐτὸ $Lag^r$ συνάδον ᾗ ἐπίκειται λέξει $V_1V_2$ 225 - 226 αὐτὴ ἐστιν Op. Pet. 226 ἡμῶν om. J L VS $Lag^r$ ἡμῶν ἡ Lag. 228 post δὲ add. καὶ J VS τῶν om. $V_1$ $V_2$ τὴν om. $V_1$ $V_2$ 229 χρησιμεύει $V_2$ 230 αὐτὸν $V_1$ $V_2$ J VS $Lag^r$ Lag. καὶ πόθεν Lag. τίς πότε καὶ πόθεν $V_1$ $V_2$ καὶ πότε om. $Lag^s$ 230 post πότε om. καὶ L VS γένος ποῖον $V_2$ ποίου γένους L 231 ὑπῆρχε $Lag^s$ 232 τοῖς $V_2$ τῶν αὐτῶν θείων γραφῶν $Lag^s$ 233 οβ′ $V_1$ $V_2$ 234 post πρώτην add. τὴν πρώτην VS ἄνωθι Πτολεμαίου οὐ τοῦ Φιλαδέλφου $V_1$ $V_2$ 235 ἐξελ:γεισαν $Lag^r$ ιβ′ $V_1$ $V_2$ 236 ἐν τῷ σῷ σώματι αὐτῷ συντάγματι VS αὐτῷ Op. 236 - 253 Τὰ δὲ ὀνόματα... ἑρμηνευτῶν om. $V_1$ $V_2$ J L VS $Lag^r$ 241 Ἰωνάθας Lag.

Στίχ. 236 - 253 ὕποπτοι, διότι παραδίδονται μόνον ὑπὸ τοῦ συριακοῦ κειμένου.

σοῦς, Σαμβαταῖος, Σίμων, Λευίς. Ἕκτον ἐκ φυλῆς Ζαβουλὼν Ἰούδας, Ἰώσηφος, Σίμων, Ζαχαρίας, Ζαμούηλος, Σελεμίας. Ἕβδομον ἐκ φυλῆς Γὰδ Σαμβαταῖος, Σεδεκίας, Ἰάκωβος, Ἴσακος, Ἰεισίας, Ματθαῖος. Ὄγδοον ἐκ φυλῆς Ἀσὴρ Θεοδόσιος, Ἰάσων, Ἰησοῦς, Θεόδοτος, Ἰωάννης, Ἰωνάθαν. Ἔνατον ἐκ φυλῆς Δὰν Θεόφιλος, Ἄβραμος, Ἄρσαμος, Ἰάσων, Ἐνδεμίας, Δανίηλος. Δέκατον ἐκ φυλῆς Νεφθαλεὶμ Ἱερεμίας, Ἐλιέζερος, Ζαχαρίας, Βαναίας, Ἐλισσαῖος, Δαθαῖος. Ἑνδέκατον ἐκ φυλῆς Ἰωσὴφ Σαμούηλος, Ἰώσηφος, Ἰούδας, Ἰωνάθαν, Χαλέβ, Δοσίθεος. Δωδέκατον ἐκ φυλῆς Βενιαμὶν Ἴσαλος, Ἰωάννης, Θεοδόσιος, Ἄρσαμος, Ἀβῖτος, Ἐζεκιήλ. Ταῦτά ἐστι τὰ ὀνόματα, ὧν προείπομεν ἑβδομήκοντα δύο ἑρμηνευτῶν. † Περὶ ὧν ἀνωτέρω διὰ τῶν ἀστερίσκων καὶ τῶν ὀβελῶν καὶ περὶ τῶν ἄλλων ἑρμηνευτῶν, τοῦτ᾽ ἔστιν Ἀκύλα καὶ Συμμάχου καὶ λοιπῶν ἀπὸ μέρους διηγησάμεθα, ἐνταῦθα δὲ καὶ τὰς αἰτίας σοι δηλώσομεν φιλοκαλώτατε. Ὁ γὰρ μετὰ τὸν πρῶτον Πτολεμαῖον δεύτερος βασιλεύσας Ἀλεξανδρείας Πτολεμαῖος, ὁ ἐπικληθεὶς Φιλάδελφος, ὡς προείρηται, φιλόκαλός τις ἀνὴρ καὶ φιλόλογος γεγένηται, ὅστις βιβλιοθήκην κατασκευάσας ἐπὶ τῆς αὐτῆς Ἀλεξάνδρου πόλεως ἐν τῷ Βρουχίῳ καλουμένῳ (κλῖμα δὲ ἔστι τοῦτο τῆς αὐτῆς πόλεως ἔρημον τανῦν ὑπάρχον) ἐνεχείρισε Δημητρίῳ τινὶ τῷ Φαλαρηνῷ τὴν αὐτὴν βιβλιοθήκην, προστάξας συναγαγεῖν τὰς πανταχοῦ γῆς βίβλους, γράψας ἐπιστολὰς καὶ προσλιπαρήσας ἕκαστον τῶν ἐπὶ γῆς βασιλέων τε καὶ ἀρχόντων τοὺς ὑπὸ τὴν αὐτοῦ βασιλείαν τε καὶ ἀρχὴν μὴ κατοκνῆσαι ἀποστεῖλαι ποιητῶν τε λέγω καὶ λογογράφων, ῥητόρων τε καὶ σοφιστῶν καὶ ἰατρῶν καὶ ἰατροσοφιστῶν καὶ ἱστοριογράφων καὶ λοιπῶν βίβλους. Τοῦ δὲ ἔργου προκόπτοντος καὶ τῶν βιβλίων πανταχόθεν συναγομένων, ἠρώτησεν ὁ βασιλεὺς τὸν τὴν βιβλιοθήκην πεπιστευμένον ἐν μιᾷ τῶν ἡμερῶν, ὅτι πόσαι δ᾽ ἂν εἶεν βίβλοι αἱ ἤδη ἐν τῇ βιβλιοθήκῃ συναχθεῖσαι. Ὁ δὲ ἀπεκρίθη τῷ βασιλεῖ λέγων ὅτι ἤδη μέν εἰσι μυριάδες πέντε βιβλίων καὶ τετρακισχίλιαι ὀκτακόσιαι πλεῖον ἢ ἔλασσον. Ἀκούομεν δὲ

250 Ἰωνάθας Lag. 253 τὸν ἀστερίσκον $V_2$ τὸν ὀβελὸν $V_2$ 254 ἑρμηνευτῶν om. $V_1$ $V_2$ J L VS $Lag^r$ τουτέστιν $V_1$ $V_2$ J κ. τῶν λοιπῶν $V_1$ $V_2$ 255 διηγησώμεθα L φιλοκαλώτατε om. J L VS $Lag^r$ Lag. ὦ φιλόκαλε $Lag^s$ 256 γὰρ om. $V_1$ $V_2$ Πτολεμαῖος L 256 - 257 ἐπὶ τῆς Ἀλεξανδρείας βασιλεύσας Πτολεμαῖος $V_1$ $V_2$ 259 προυχίῳ $V_1$ $V_2$ βραχίῳ Op. κλίματι καὶ ἔστι Pet. καὶ ἐστὶ J VS καὶ ἔστι $Lag^r$ 260 ἐνεχείρησαν $V_2$ ἐνεχείρησε VS $Lag^r$ 261 Φαλαρίνῳ $V_1$ $V_2$ βιβλοθήκην VS 262 γράψας γράψας $Lag^r$ 263 ἀρχόντων... καὶ om. J VS $Lag^r$ 263 - 264 βασ. τε καὶ ἀρχῶν μὴ κατοκνῆσαι ἀποστεῖλαι τοὺς ὑπὸ τὴν βασιλείαν καὶ ἀρχὴν αὐτοῦ ποιητῶν Lag. 266 post βιβλίων add. ἐκ $V_1$ $V_2$ 267 συναθροισθέντων $V_1$ $V_2$ 268 αἱ ἤδη om. J VS ἤδη αἱ $V_1$ $V_2$ ἤδη om. L $Lag^r$ εἰς τὸ βιβλιοθήκῃ J VS εἰς τὴν βιβλιοθήκην Pet. Dind. Lag. 268 - 269 συναχθῆσαι VS 270 τετρακισχίλια ὀκτακόσια $V_1$ $V_2$ πλέον Dind. πλείω ἢ ἐλάσσω $V_1$ $V_2$

ἔτι πολὺ πλῆθος ἐν τῷ κόσμῳ ὑπάρχειν, παρά τε Αἰθίοψι καὶ Ἰνδοῖς, Πέρσαις τε καὶ Ἐλαμίταις καὶ Βαβυλωνίοις, Ἀσσυρίοις τε καὶ Χαλδαίοις, παρὰ Ρωμαίοις τε καὶ Φοίνιξι, Σύροις τε καὶ τοῖς ἐν τῇ Ἑλλάδι Ρωμαίοις οὔπω Ρωμαίοις καλουμένοις ἀκμὴν ἀλλὰ Λατίνοις. Ἀλλὰ καὶ παρὰ τοῖς ἐν Ἱεροσολύμοις τε καὶ ἐν τῇ Ἰουδαίᾳ ὑπάρχουσι βίβλοι θεϊκαὶ τῶν προφητῶν, διηγούμεναι περὶ Θεοῦ καὶ τῆς κοσμοποιίας, καὶ τῆς ἄλλης πάσης κοινωφελοῦς διδασκαλίας. Εἰ οὖν δοκεῖ τῷ κράτει σου, βασιλεῦ, καὶ αὐτὰς μεταστείλασθαι, γράψον τοῖς ἐν Ἱεροσολύμοις διδασκάλοις καὶ ἀποστελοῦσί σοι, ὅπως καὶ τὰς αὐτὰς βίβλους καταθῶ ἐν τῇ αὐτῇ τῆς σῆς εὐσεβείας βιβλιοθήκῃ. Τότε τοίνυν γράφει ὁ βασιλεὺς ἐπιστολὴν ἔχουσαν τάδε.

10. Βασιλεὺς Πτολεμαῖος τοῖς ἐν Ἱεροσολύμοις τῶν Ἰουδαίων διδασκάλοις πλεῖστα χαίρειν. Βιβλιοθήκην κατασκευάσας καὶ πλῆθος συναγαγὼν βιβλίων ἐξ ἑκάστου ἔθνους, ἐν αὐτῇ ἀπεθέμην. Ἀκούσας δὲ ὡς καὶ παρ᾽ ὑμῖν ἐμφέρονται βίβλοι προφητῶν περὶ Θεοῦ τε καὶ κοσμοποιίας δηλοῦσαι, καὶ ταύτας ἅμα ταῖς ἄλλαις ἀφιερῶσαι ἐπιθυμῶν, γέγραφα, ὅπως ταύτας ἡμῖν ἀποστείλητε. Ὅτι γὰρ τιμῆς ἕνεκεν καὶ οὐ περιεργείας χάριν οὐδὲ κακονοίας τῆς τοιαύτης αἰτίας εἰμὶ ἐπιθυμητής, ἀλλὰ πίστεως ἕνεκα καὶ τῆς περὶ ὑμᾶς φιλίας τὴν τούτων αἴτησιν ποιοῦμαι ἐκ τῆς πάλαι ὑφ᾽ ἡμῶν περὶ ὑμᾶς γενομένης εὐνοίας ἀναμνησθέντες εἴσεσθε. Μέμνησθε γάρ που ὡς αἰχμαλώτων πολλῶν ἐκ τῆς ὑμετέρας πατρίδος ληφθέντων καὶ εἰς Αἴγυπτον τὴν ἡμετέραν πατρίδα ἀχθέντων ἀνῆκα, καὶ μετ᾽ ἐφοδίων πολλῶν καὶ θεραπείας οὐ τῆς τυχούσης ἐπιμελησάμενος αὐτῶν ἐλευθέρους ἀπέπεμψα. Ἀλλὰ καὶ τοὺς ἐν αὐτοῖς πεπληγμένους ἰασάμενος ὡσαύτως ἀνῆκα

271 ἔτι om. Lag. τῷ om. $V_1$ $V_2$ 272 Αἰλαμίταις Lag. post Ἐλαμίταις om. καὶ $V_2$ Ἀσυρίοις VS 272 - 273 Βαβυλωνίοις καὶ Φοίνιξι, Ἀσσυρίοις τε καὶ Χαλδαίοις καὶ Ρωμαίοις, Σύροις τε $V_1$ $V_2$ 273 post Ἑλλάδι om. Ρωμαίοις J L VS Lag$^{r}$ Ἑλλάδι παρὰ Ρωμαίοις τε οὔπω Dind. 274 Ρωμαίων καλουμένων ἀλλὰ Λατίνων τότε $V_2$ ἀκμήν om. $V_1$ $V_2$ Λατείνοις Lag. post Λατίνοις add. τότε $V_1$ ἐν om. $V_1$ $V_2$ J L VS Lag$^{r}$ 275 τε om. J VS 277 τῷ κράτει τῷ σῷ $V_1$$V_2$ 278 στείλασθαι om. $V_2$ (ἐσβεσμένον) 278 γράψον τοῖς ἐν Ἱεροσολύμοις om. $V_1$$V_2$ (ἐσβεσμένον) διδασκαλίας VS 278 - 279 καὶ ἀποστελοῦσι om. $V_1$$V_2$ (ἐσβεσμένον) 279 καταθῇ $V_1$ Lag. κατάθη $V_2$ σῆς εὐλαβείας $V_2$ 280 Τότε om. $V_1$ $V_2$ (ἐσβεσμένον) περιέχουσαν L post τάδε VS add. Ἐπιστολὴ Πτολεμαίου 280 - 281 ἐπιστολὴν... βασιλεὺς om. $V_2$ 281 ασιλεὺς Lag$^{r}$ (Παραλείπεται τὸ Β ἵνα τεθῇ ἐκ τῶν ὑστέρων ὑπὸ τοῦ κοσμητοῦ τοῦ κώδικος. Ἐν τῇ ᾤᾳ ἀναγράφεται: Ἐπιστολὴ Πτολεμαίου). 281 - 282 διδασκάλοις om. J L VS Lag$^{r}$ διδασκάλοις τῶν Ἰουδαίων $V_1$ $V_2$ 283 Ἤκουσα Lag$^{s}$ καὶ om. Op. Pet. 284 ἡμῖν $V_2$ 285 ἅμα om. J VS Lag. ἐπιθυμῶ J VS Lag$^{r}$ 287 οὔτε J L VS Lag$^{r}$ ἕνεκα om. $V_1$ $V_2$ 288 περὶ ἡμᾶς $V_1$ ἐκ τῆς πρότερον Lag. πάλαι om. J L VS 288 - 289 ἐφ᾽ ἡμῖν $V_2$ 289 γενόμεθα $V_2$ γὰρ om. $V_1$ $V_2$ J L VS Lag$^{r}$ 290 post που add. τάχα Lag$^{s}$ 291 τὴν ἡμετέρα πατρίδα αὐτῶν Αἴγυπτον ἀχθέντων τούτους ἀνῆκα $V_1$ $V_2$ 292 τῆς τύχης $V_2$ 293 ὡσαύτως om. J L VS Lag$^{r}$ ὁμοίως Lag.

καὶ τοὺς γυμνοὺς ἐνέδυσα. Καὶ νῦν δὲ τράπεζαν χρυσῆν μετὰ πολυτελεστάτης λιθίας κεκοσμημένην ἐξ ὁλκῆς ταλάντων ἑκατὸν ἀντὶ τῆς τραπέζης τῆς ληφθείσης ἀπὸ τοῦ ἁγίου τόπου Ἱεροσολύμων ἀπέστειλα, μετὰ καὶ δώρων καὶ κειμηλίων τῷ ἱερῷ τόπῳ. Τούτων τοίνυν τὴν διήγησιν ἐποιησάμην, ὅπως γνῶτε ὅτι ὑπὲρ εὐχῆς καὶ εὐσεβείας τὰς βίβλους αἰτῶ. Καὶ ἡ μὲν ἐπιστολὴ ἀπεστάλη καὶ τὰ ἀπεσταλμένα δῶρα ὡσαύτως. Αὐτοὶ δὲ δεξάμενοι τὴν ἐπιστολὴν καὶ ἀναγνόντες καὶ τὰ ἀπεσταλμένα θεασάμενοι διὰ χαρᾶς ἔσχον σφόδρα καὶ ἀμελλητὶ χρυσέοις γράμμασιν ἑβραϊκοῖς τὰς βίβλους μεταγραψάμενοι τὰς ἤδη μοι προτεταγμένας ἀπέστειλαν, εἴκοσι δύο μὲν τὰς ἐνδιαθέτους, ἑβδομήκοντα δύο δὲ τὰς ἀποκρύφους. Ὁ δὲ βασιλεὺς κομισάμενος καὶ ἐντυχὼν καὶ μὴ δυνάμενος ἀναγνῶναι τῶν στοιχείων ἑβραϊκῶν ὑπαρχόντων καὶ διαλέκτῳ τῇ ἑβραϊκῇ γεγραμμένων, δευτέραν ἐπιστολὴν ἀναγκάζεται αὐτοῖς γράψαι καὶ αἰτῆσαι ἑρμηνευτὰς τοὺς δυναμένους αὐτῷ φράσαι εἰς τὴν ἑλληνικὴν διάλεκτον τὰ τῆς ἑβραΐδος. Περιεῖχε δὲ ἡ ἐπιστολὴ τάδε.

11. Ὁ βασιλεὺς Πτολεμαῖος τοῖς τῆς εὐσεβείας διδασκάλοις τοῖς ἐν Ἱεροσολύμοις πλεῖστα χαίρειν. Θησαυροῦ κεκρυμμένου καὶ πηγῆς ἐσφραγισμένης τίς ὠφέλεια ἐν ἀμφοτέροις[1]; οὕτω καὶ ἡ παρ' ὑμῶν ἀπεσταλμένη ἡμῖν τῶν βιβλίων ὑπόθεσις. Ἡμῶν γὰρ μὴ δυναμένων ἀναγνῶναι τὰ παρ' ὑμῶν ἡμῖν ἀπεσταλμένα εἰς οὐδὲν ὄφελος γενήσεται ἡμῖν τὸ τοιοῦτον. Ἀλλὰ καταξιώσατε ἑρμηνευτὰς ἡμῖν ἀποστεῖλαι τοὺς ἀπὸ νέας ὑμῖν ἡλικίας ἀκριβῶς τήν τε τῶν Ἑβραίων καὶ τῶν Ἑλλήνων πεπαιδευμένους γλῶσσαν. Τότε τοὺς προγεγραμμένους ἑβδομήκοντα δύο ἑρμηνευτὰς ἐκλεξάμενοι οἱ τῶν Ἑβραίων διδάσκαλοι ἀποστέλλουσι κατὰ τὸν τύπον, ὅν ποτε ἐποίησε Μωυσῆς, ἡνίκα ἀνῆλθεν εἰς τὸ ὄρος διὰ προστάγματος Κυρίου, ἀκούσας ὅτι «παράλαβε μετὰ σεαυ-

1. Πρβλ. Σοφ. Σειρ. 20, 30. Ἀσμ. 4, 12.

294 τράπαιζαν VS 295 κεκοσμημένης $V_2$ VS ἐξ ὁλκῆς VS ταλάντων ρ' $V_1$ $V_2$ J VS $Lag^r$ $Lag^s_2$ ταλάντων φ' Op. Pet. Dind. 296 post ἀπέστειλα add. καὶ $Lag^r$ 296 - 297 καὶ δωρεῶν $V_2$ 297 κειμηλείων VS ἱερατικῷ Lag. 298 post εὐχῆς om. καὶ Lag. 299 ὡσαύτως δῶρα $V_1 V_2$ ὡσαύτως om. J L VS $Lag^r$ δὲ om. VS 300 καὶ τὴν ἐπιστολὴν καὶ τὰ (σταλέντα L) δῶρα ἀσμένως, διὰ χαρᾶς J L VS $Lag^r$ 300 - 301 σφόδρα διὰ χαρᾶς ἔσχον $V_1$ $V_2$ 301 ἀμελητὶ Op. 302 ἀπέστειλαν τὰς ἤδη μοι προτεταγμένας $V_1$ $V_2$ κβ' J VS 304 μὴ δυνηθεὶς $V_1$ $V_2$ 304 - 305 ἑβραϊκῶν ὄντων $V_1 V_2$ 307 ἐκφράσαι $V_1 V_2$ φράσαι τὰς βίβλους J L VS $Lag^r$ διὰ τῆς ἑβραΐδος J L VS $Lag^r$ 309 Ὁ om. VS $Lag^r$ 311 παρ' ἡμῶν $V_1$ $V_2$ ἐπεσταλμένη $Lag^r$ ὑμῖν $V_1$ $V_2$ ἐμοὶ (;) $Lag^s$ 312 ἡμῶν ὑμῖν $V_2$ 312 - 313 τὰ γράμματα τούτων Op. Pet. Dind. 313 ἀποσταλέντα εἰς οὐδ' ἓν $Lag^s$ Lag. γίνεται τὸ τοιοῦτο Lag. 314 ἀπὸ νέας ὑμῖν ἡλικίας om. J L VS $Lag^r$ ἐκ νέας ἡλικίας ὑμῖν Lag. ν. ἡμῖν $V_1$ $V_2$ 314 - 315 ἀκριβῶς ἐκπεπαιδευμένους τὴν τε τῶν Ἑβραίων καὶ τῶν Ἑλλήνων γλῶτταν Lag. Καὶ τότε $V_1$ $V_2$ 315 - 316 προγεγραμμένους om. $V_1$ $V_2$ J L VS $Lag^r$ 316 οβ' $V_1$ $V_2$ 318 παρέλαβε $V_2$

τοῦ ἄνδρας ἑβδομήκοντα καὶ ἀνάβηθι εἰς τὸ ὄρος»[1]. Αὐτὸς δὲ διὰ τὴν πρὸς τὰς φυλὰς εἰρήνην, ἵνα μὴ ἐξ ἐνίων λάβῃ πέντε ἄνδρας, ἐξ ἄλλων ἓξ καὶ ποιήσῃ στάσιν ἐν ταῖς φυλαῖς, διενοήθη μᾶλλον ἑβδομήκοντα δύο παραλαβεῖν καὶ τῷ ἀριθμῷ προσθεῖναι. Τῷ αὐτῷ δὴ τρόπῳ, ὡς ἔφην, καὶ τούτους ἀπέστειλαν, οἵτινες ἡρμήνευσαν τὰς βίβλους ἐν τῇ Φαρίᾳ καλουμένῃ νήσῳ, καθάπερ ἄνω προείπομεν, ᾧ τρόπῳ ὑπεδείξαμεν. Καὶ οὕτως αἱ βίβλοι εἰς ἑλληνίδα μετενεχθεῖσαι ἀπετέθησαν ἐν τῇ πρώτῃ βιβλιοθήκῃ τῇ ἐν τῷ Βρουχίῳ οἰκοδομηθείσῃ, ὡς ἤδη ἔφην. Ἐγένετο δὲ αὐτῇ τῇ βιβλιοθήκῃ ἑτέρα, ἡ θυγάτηρ αὐτῆς ὀνομασθεῖσα ἄνω ἐν τῷ Σεραπείῳ. Καὶ παρῆλθεν ὁ χρόνος τῶν δέκα Πτολεμαίων καὶ Κλεοπάτρας ἐτῶν διακοσίων καὶ πεντήκοντα καὶ ἐννέα.

12. Μετὰ δὲ τὸν πρῶτον Πτολεμαῖον τὸν Λάγου τὸν βασιλεύσαντα ἔτη τεσσαράκοντα καὶ μετὰ τὸ ἕβδομον ἔτος τοῦ δευτέρου Πτολεμαίου τοῦ καὶ Φιλαδέλφου ὁ ἀριθμὸς τῶν Πτολεμαίων καὶ τῶν ἐτῶν οὕτως. Πτολεμαῖος Φιλάδελφος ἔτη λη΄, ἐφ᾽ οὗ ἐν τῷ ζ΄ ἔτει αὐτοῦ πλείω ἢ ἐλάσσω οἱ προειρημένοι οβ΄ ἑρμηνευταὶ τὰς γραφὰς ἡρμήνευσαν. Μετὰ δὲ τὸν χρόνον τῆς ἑρμηνείας τῶν γραφῶν τὰ ἔτη καὶ οἱ βασιλεῖς οὕτως. Πτολεμαῖος ὁ προειρη-

1. Πρβλ. Ἐξ. 24, 1.12.

319 ο΄ ἄνδρας $V_1$ $V_2$ 320 post ἐνίων add. μὲν $Lag^s$ post ἄλλων add. δὲ $V_1$ $V_2$ $Lag^s$ 321 οβ΄ $V_1$ $V_2$ 321 - 322 λαβεῖν $Lag^r$ 322 προσθῆναι VS τὸν αὐτὸν δὴ τρόπον $V_2$ 323 ἑρμήνευσαν VS 324 καθ᾽ ἅπερ Lag. ᾧ τρόπῳ ὑπεδείξαμεν om. J L VS $Lag^r$ τρόπῳ ὡς ἐδηλώσαμεν $V_1$ $V_2$ 325 post ἑλληνίδα add. διάλεκτον $V_1$ $V_2$ μεταβληθεῖσαι $V_1$ $V_2$ ἐκτεθεῖσαι J L VS $Lag^r$ 325 - 326 ἐν τῇ Βρουχίῳ J VS προυχίῳ $V_1$ $V_2$ 326 ὡς ἤδη ἔφην om. $V_1$ $V_2$ J L VS $Lag^r$ 326 - 327 οἰκοδομηθείσῃ, καθὼς ἄνω εἴπομεν. Ἔσχε δὲ ἐκείνη ἡ βιβλιοθήκη δευτέραν τε θυγατέρα (τε θυγατέρα om. $V_2$ ἐσβεσμένον) αὐτῆς ἐπικληθεῖσαν ἄνω $V_1$ $V_2$ 326 - 329 οἰκοδομηθείσῃ. Ἔτι δὲ ὕστερον καὶ ἑτέρα (ἑτέραν VS) ἐγένετο βιβλιοθήκη ἐν τῷ Σεραπίῳ μικροτέρα (μικρότερον VS) τῆς πρώτης, ἥτις καὶ θυγάτηρ ὠνομάσθη αὐτῆς, ἐν ᾗ ἀπετέθησαν αἱ τοῦ Ἀκύλα καὶ Συμμάχου καὶ Θεοδοτίωνος (-ονος J VS) καὶ τῶν λοιπῶν ἑρμηνεῖαι μετὰ διακοσιοστὸν καὶ πεντηκοστὸν ἔτος J L VS $Lag^r$ 327 εἰς τὸν $V_2$ ὁ om. $V_1$ $V_2$ 328 τῶν om. $V_1V_2$ Κλεοπάτρας om. $V_2$ 328 - 329 σνθ΄ $V_1V_2$ $Lag^s_2$ 330 Μετὰ γὰρ J L VS $Lag^r$ Lag. τὸν υἱὸν Λάγου J L VS υἱὸν τοῦ Λάγου $Lag^r$ τὸν Λαγοῦ $V_2$ 331 ἔτη μ΄ $V_1$ $V_2$ L $Lag^s_2$ καὶ μετ᾽ ἔτος ἕβδομον Lag. 331 - 332 καὶ μετὰ ... οὕτως om. J L VS $Lag^r$ 332 Φιλαδέλφου ὁ κατὰ τοῦ Πτολεμαίου λόγος καὶ τὰ ἔτη οὕτως $V_1$ $V_2$ 332 - 333 Πτολεμαῖος οὗτος ὁ Φιλάδελφος, ἐφ᾽ οὗ οἱ ἑβδομήκοντα δύο ἡρμήνευσαν ἑρμηνευταὶ ἐκράτησεν ἔτη λη΄ (τριάκοντα L) J L VS $Lag^r$ 333 - 334 οὗ ἐν ταῖς ἡμέραις, ἐν ἔτει ἑβδόμῳ αὐτοῦ, πλεῖον ἢ ἔλασσον, οἱ προειρημένοι ἑβδομήκοντα δύο (οβ΄ $Lag^s_2$) ἑρμηνευταὶ τὰς βίβλους Lag. 333 - 336 ἐφ᾽ οὗ... λοιπὰ λα΄ om. J L VS 334 - 335 τὸν τῆς ἑρμηνείας αὐτῶν τῶν βιβλίων χρόνον βασιλεῖς καὶ ἔτη οὕτως Lag. 335 - 336 Πτολεμαίου τοῦ προειρημένου τὰ λοιπὰ ἔτη λα΄ $V_1V_2$

μένος Φιλάδελφος ἔτη λοιπὰ λα΄. Πτολεμαῖος ὁ Εὐεργέτης ἔτη κδ΄. Πτολεμαῖος ὁ Φιλοπάτωρ ἔτη κα΄. Πτολεμαῖος Ἐπιφανὴς ἔτη κβ΄ Πτολεμαῖος Φιλομήτωρ ἔτη λδ΄. Πτολεμαῖος ὁ Φιλόλογος καὶ Εὐεργέτης ἔτη κθ΄. Πτολεμαῖος ὁ Σωτὴρ ἔτη ιε΄. Πτολεμαῖος ὁ καὶ Ἀλεξᾶς ἔτη ιβ΄. Πτολεμαῖος ὁ τοῦ Ἀλεξᾶ ἀδελφός, ὁ ὑπὸ τῆς μητρὸς ἐξωσθεὶς ἔτη η΄. Πτολεμαῖος ὁ Διόνυσος ἔτη λα΄. Κλεοπάτρα Πτολεμαίου θυγάτηρ ἔτη λβ΄, ἥτις Ἀντωνίῳ συνήφθη τῷ βασιλεῖ τῷ καὶ Ὀκταβίῳ*. Ὁμοῦ ἔτη σνθ΄, ὡς ἄνω πρόκειται. Καὶ ἐπαύσαντο αἱ Λαγίδαι βασιλεῖς οἱ ἀπὸ τοῦ Λάγου καταγόμενοι Πτολεμαῖοι, ὑφ᾽ οὗ ἱππικὸν ἐν Ἀλεξανδρείᾳ κατασκευασθὲν μόνη Λάγιον ὠνομάσθη.

13. Εἶτα βασιλεῖς Ῥωμαίων. Αὔγουστος ἔτη νς΄, μῆνας ς΄, οὗτινος ἐν τῷ τεσσαρακοστῷ δευτέρῳ ἔτει ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς κατὰ σάρκα γεγέννηται. Τιβέριος ἔτη κγ΄, οὗ τῷ ὀκτωκαιδεκάτῳ ἔτει ὁ Χριστὸς ἐσταύρωται. Ἀπὸ δὲ τοῦ σταυροῦ ἕως τῆς καταστροφῆς Ἱεροσολύμων ἔτη οὕτως.

336 ὁ Φιλάδελφος $V_1V_2$ post λα΄ add. μεθ᾽ ὃν J L VS ὁ om. $V_1$ $V_2$ εἴκοσι τέσσαρα $V_2$ J VS $Lag^r$ post κδ΄ add. Μεθ᾽ ὃν πάλιν J L VS 337 ἔτη εἴκοσι καὶ ἓν J VS $Lag^r$ ιζ΄ $V_1$ $V_2$ εἴκοσι δύο J VS $Lag^r$ Ἐπιφανὴς ἔτη κδ΄ $V_1$ $V_2$ 337 - 338 εἶτα Πτολεμαῖος Φιλοπάτωρ ἄλλος ἔτη (om. ἔτη J VS $Lag^r$) τριάκοντα τέσσαρα (λδ΄ L) J L VS $Lag^r$ 338 ὁ Φιλομήτωρ $V_1$ $V_2$ Ἔπειτα Πτολεμαῖος ὁ Φιλολόγος καὶ Εὐεργέτης ἔτη εἴκοσι ἐννέα (κθ΄ L) J L VS $Lag^r$ 339 ὁ καὶ Ἀλεξ $V_1V_2$ δώδεκα J VS $Lag^r$ 340 ὁ τοῦ Ἀλεξάνδρου J L VS $Lag^r$ ὁ καὶ Ἀλεξάνδρου $V_1$ $V_2$ ὁ ἀπὸ τῆς $V_1$ $V_2$ ὀκτὼ J VS $Lag^r$ 341 τριάκοντα καὶ ἓν . . . τριάκοντα δύο J VS $Lag^r$ 341 - 342 αὕτη Ἀντωνίῳ $V_1$ $V_2$ $Lag^r$ Lag. 342 Ἀντωνίνῳ J VS $Lag^r$ Lag. τῷ καὶ om. J L VS $Lag^r$ καὶ om. $V_1$ $V_2$ Ὀκταυίῳ Lag. Ὀκταγίῳ $Lag^r$ ὁμοῦ ἀπὸ τοῦ πρώτου Πτολεμαίου τοῦ υἱοῦ Λάγου μέχρι Κλεοπάτρας ἔτη τριακόσια ἓξ ἀπὸ δὲ ἑβδόμου ἔτους Πτολεμαίου τοῦ Φιλαδέλφου, ἐφ᾽ οὗ τῷ αὐτῷ ἔτει οἱ ἑβδομήκοντα δύο ἡρμήνευσαν μέχρι Κλεοπάτρας ἔτη διακόσια τεσσαράκοντα ἐννέα (σμθ΄ L) J L VS $Lag^r$ 342 - 343 ὡς ἄνω πρόκειται om. L VS 343 πρόκειται om. Lag. προετέθη (?) $Lag^s$ Λάγιδαι $V_2$ 343 Λαγίδαι βασιλεύειν οἱ (οἱ om. L) J L VS $Lag^r$ τοῦ om. L Λαγοῦ $V_1$ $V_2$ 343 - 344 Πτολεμαῖοι καταγόμενοι Lag. 344 κατασκευασθὲν μόνη om. $V_1$ $V_2$ 344 - 345 ὃς ἱππικὸν ἐν Ἀλεξανδρείᾳ κατασκευάσας λάϊον ὠνόμασεν (ὀνόμασεν J VS) J L VS $Lag^r$ κατασκευάσας Λάγιον ὠνόμασεν Dind. Τὸ λάγου (;) καλεῖται $V_1$ τὸ Λάγιον καλεῖται $V_2$ 346 Οἱ Ῥωμαῖοι βασιλεῖς $V_1$ (ἐν τῇ ᾤᾳ ἀναγράφεται : οἱ Ῥωμαίων βασιλεῖς) οἱ Ῥωμαίων βασιλεῖς $V_2$ ἔτη om. $V_2$ ἔτη νξ΄ L νζ΄ Dind. μῆνας om. L μῆνας ς΄ om. J VS ἕξ L ἐξ $Lag^r$ ἐξ οὗτινος J L VS [ἐξ] οὗτινος Pet. οὗτινος om. $V_2$ 346 - 347 ἐξ οὗ τινος ἐν τῷ σαρακοστῷ J VS 347 τῷ om. $Lag^r$ γαρακοστῷ $Lag^r$ μβ΄ L $Lag^s_2$ 347 - 348 μβ΄ ἔτει τούτου, ὁ Κύριος. . . ἐγεννήθη $V_1$ $V_2$ 348 γεγένηται $Lag^r$ 348 - 349 ἔτη κς΄. Ἐν τῷ ιη΄ ἔτει τούτου ὁ Χ(ριστὸ)ς ἐσταυρώθη $V_1V_2$ post ἐσταύρωται add. ἑκουσίως $Lag^s$ 349 ἕως ἐρημώσεως Ἱεροσολύμων τὰ ἔτη $V_1$ $V_2$ 349-350 ἀπὸ δὲ τοῦ. . .ἔτη ε΄ om. $V_2$ J L VS $Lag^r$

* Ὀκταβίῳ: Τὸ συριακὸν κείμενον ἐκλαμβάνει τὴν λέξιν ὡς σημαίνουσαν «ὁ ἔχων ὀκτὼ τέκνα».

Τὰ λοιπὰ Τιβερίου ἔτη ε΄. Γάϊος ἔτη γ΄, μῆνας θ΄, ἡμέρας κθ΄. Κλαύδιος ἔτη ιγ΄, μῆνας δύο παρ᾽ ἡμέρας δύο. Νέρων ἔτη ιγ΄, μῆνας ζ΄, ἡμέρας κζ΄. Γάλβας μῆνας ζ΄, ἡμέρας κς΄. Ὄθων μῆνας γ΄, ἡμέρας ε΄. Βιτέλλιος μῆνας η΄, ἡμέρας ιβ΄. Οὐεσπασιανὸς ἔτη θ΄, μῆνας ζ΄, ἡμέρας ιβ΄. Τίτος ἔτη δύο, μῆνας δύο, ἡμέρας δύο. Ἐν τούτῳ τῷ χρόνῳ γέγονεν ἡ ἐρήμωσις Ἱεροσολύμων, μετὰ πεντηκοστὸν ἔτος τῆς Χριστοῦ σταυρώσεως παρὰ μῆνας τρεῖς. Δομετιανὸς ἔτη ιε΄, μῆνας ε΄. Νερούας ἔτος α΄, μῆνας δ΄. Τραϊανὸς ἔτη ιθ΄. Ἀδριανὸς ἔτη κα΄, οὗτινος τῷ δωδεκάτῳ ἔτει Ἀκύλας ἐγνωρίζετο. Ἀπὸ οὖν Αὐγούστου ἕως Ἀδριανοῦ ἔτη ρπ΄, μῆνες δ΄ παρὰ ἡμέρας θ΄, ὡς εἶναι ἀπὸ τοῦ χρόνου τῆς ἑρμηνείας τῶν ἑβδομήκοντα δύο ἑρμηνευτῶν ἕως Ἀκύλα τοῦ ἑρμηνευτοῦ καὶ δωδεκάτου ἔτους Ἀδριανοῦ ἔτη υλ΄ καὶ μῆνας δ΄ παρὰ ἡμέρας θ΄.

14. Οὗτος ὁ Ἀδριανὸς λωβηθεὶς τῷ σώματι καὶ μεταστειλάμενος ἅπαν τὸ πλῆθος τῶν ὑπὸ τὴν βασιλείαν αὐτοῦ ἰατρῶν, ᾔτησε παρ᾽ αὐτῶν ἰατρείαν τοῦ σώματος αὐτοῦ. Οἱ δὲ πολλὰ κεκμηκότες καὶ πολλὰ ποιήσαντες καὶ μηδὲν ἀνύσαντες ὑπ᾽ αὐτοῦ ἐσκώφθησαν, ὅς καὶ ἐπιστολὴν ὀνειδιστι-

350 post γ΄ add. καὶ $V_2$  ἡμέρα Lag$^r$  ἡμέρας η΄ (;) $V_2$  350 - 351 Κλαύδιος... Νέρων om. $V_1$ $V_2$ (ἐσβεσμένον. Ἐν τῷ μέσῳ περίπου τοῦ ἐσβεσμένου κειμένου ἀναγράφεται «μῆνα α΄ ἡμερ»).  Κλαύδιος... ἕνα μῆνα καὶ εἴκοσι ὀκτὼ ἡμέρας Lag$^s$  Κλαύδιος... κζ΄ om. Lag$^r$  351 παρ᾽ ἡμέρας β΄ L  Γαλβᾶς $V_2$  Γαλμας Lag$^r$  352 ἡμέρας κα΄ $V_2$  Βιτέλειος μῆνας ιη΄ J L VS Lag$^r$  Βιτέ om. $V_2$  353 Οὐεσπασιανὸς ἔτη θ΄ om. $V_2$  ἔτη θ΄ om. $V_1$ (ἐσβεσμένον)  353 - 354 ἔτη γ΄ μῆνας β΄ ἡμέρας β΄ $V_1$ $V_2$  ἔτη β΄ μῆνας β΄ ἡμέρας β΄ L  354 ἡμέραι Lag$^r$  ἡ ἐρήμωσις γέγονεν Ἱεροσολύμων $V_1$ $V_2$  355 πεντήκοντα $V_1$ $V_2$  ἑξηκοστὸν πέμπτον J VS Lag$^r$  ξε΄ L  ἔτος om. $V_1$ (ἐσβεσμένον)  ἔτη $V_2$ (Εἰς τὸν κώδ. $V_2$ μεσολαβεῖ κενὸν διάστημα δώδεκα περίπου γραμμάτων, μικρότερον δὲ διάστημα καὶ εἰς τὸν $V_1$).  τοῦ Χριστοῦ L  σταυρωθῆναι τὸν Χριστὸν $V_1$ $V_2$  σταυρώσεως καὶ ἡμέρας τινὰς J L VS Lag$^r$  355 - 356 Δομητιανὸς L  356 post ιε΄, add. ἡμέρας ε΄ $V_2$  ἔτος ἓν $V_2$ J L VS Lag$^r$ Lag$^s{}_2$  356 - 361 Τραϊανός... μῆνας δ΄ om. $V_2$  357 Ἀνδριανὸς VS  ιβ΄ ἔτει L  357 - 358 τῷ δωδεκάτῳ ἔτει Ἀδριανοῦ Ἀκύλας ἐγνωρίζετο καὶ πάλιν ἀπὸ Αὐγούστου $V_1$  358 Ἀνδριανοῦ VS  post ρπ΄ add. καὶ $V_1$  επ΄ μῆνας Lag$^r$  μῆνας J L VS  359 οβ΄ $V_2$  360 ἑρμηνευτοῦ ἤγουν ἕως δωδεκάτου J L VS Lag$^r$  ιβ΄ L Lag$^s{}_2$  Ἀνδριανοῦ J VS Lag$^r$  post Ἀδριανοῦ add. ὁμοῦ Lag.  361 παρὰ ἡμέρας θ΄ om. J L VS Lag$^r$  post θ΄ Lag$^s$ add. ἀλλὰ μέχρι πάντων τῶν ἐτῶν Ἀδριανοῦ 439 καὶ μῆνας τέσσαρας παρ᾽ ἡμέρας ἐννέα.  362 post οὗτος add. δὲ J L VS Lag$^r$  post οὗτος add. γὰρ Lag$^s$ Lag.  Ἀνδριανὸς VS  τῷ σῶμα $V_2$ J L  λεπρωθεὶς τὸ σῶμα Lag.  μεταστιλάμενος VS  363 post πλῆθος add. ἀπὸ L  post ἰατρῶν add. τοῦ ἑαυτοῦ σώματος $V_1$ $V_2$  364 τοῦ σώματος αὐτοῦ om. $V_1 V_2$  καὶ πολλὰ ποιήσαντες om. J L VS Lag$^r$ Lag. (ὁ Lag. ἀφίνει κενὸν χῶρον, ἐν ὑποσημειώσει δὲ παραθέτει τὴν φράσιν εἰς Γερμανικὴν μετάφρασιν ἐκ τοῦ Συριακοῦ).  365 μὴ ἀνύσαντες L  ἐσκώφθησαν ὑπ᾽ αὐτοῦ J L VS Lag$^r$  ὡς καὶ J L VS Lag$^r$  365 - 366 καθὼς ἐπιστολὴν γέγραφε ὀνειδιστικὴν καὶ τὴν αὐτῶν τέχνην αἰτιώμ(ενος) $V_1 V_2$

κὴν ἔγραψε κατ' αὐτῶν, τὴν τέχνην αὐτῶν αἰτιώμενος ὡς μηδὲν εἰδυῖαν. Τῆς δὲ προκειμένης αὐτῷ νόσου ἕνεκα στέλλεται τὴν πορείαν ἐπὶ τὴν τῶν Αἰγυπτίων γῆν. Ἔδει δὲ αὐτὸν ἀπὸ τῆς Ρωμαίων ἐπὶ τὰς ἑξῆς προβαίνοντα πόλεις ταύτας κατοπτεύειν. Ἦν γὰρ ὁ ἀνὴρ φιλοΐστωρ. Διέρχεται οὖν τὴν Ἀντιόχου πόλιν, ὑπερβαίνει τε τὴν Κοίλην καὶ τὴν Φοινίκην, καὶ ἔρχεται εἰς τὴν Παλαιστίνην, τὴν καὶ Ἰουδαίαν καλουμένην μετὰ ἔτη μζ' τῆς τῶν Ἱεροσολύμων ἐρημώσεως. Καὶ ἄνεισιν ἐπὶ τὰ Ἱεροσόλυμα, τὴν περίπυστον πόλιν καὶ ὀνομαστήν, ἣν κατέστρεψε Τίτος Οὐεσπασιανοῦ παῖς τῷ δευτέρῳ ἔτει τῆς αὐτοῦ βασιλείας. Καὶ εὗρε τὴν πόλιν πᾶσαν ἠδαφισμένην, καὶ τὸ ἱερὸν τοῦ Θεοῦ κατεπεπατημένον, παρεκτὸς ὀλίγων οἰκημάτων καὶ τῆς τοῦ Θεοῦ ἐκκλησίας μικρᾶς οὔσης, ἔνθα ὑποστρέψαντες οἱ μαθηταί, ὅτε ὁ Σωτὴρ ἀνελήφθη ἀπὸ τοῦ ἐλαιῶνος ἀνέβησαν εἰς τὸ ὑπερῷον. Ἐκεῖ γὰρ ᾠκοδόμητο· τοῦτ' ἐστὶν ἐν τῷ μέρει Σιών, ἥτις ἀπὸ τῆς ἐρημώσεως περιελήφθη· καὶ μέρη οἰκήσεων περὶ αὐτὴν τὴν Σιὼν καὶ ἑπτὰ συναγωγαί, αἳ ἐν τῇ Σιὼν μόναι ἑστήκεσαν, ὡς καλύβαι μόνον, ἐξ ὧν μία περιελείφθη ἕως χρόνου Μαξιμωνᾶ τοῦ ἐπισκόπου καὶ Κωνσταντίνου τοῦ βασιλέως «ὡς σκηνὴ ἐν ἀμπελῶνι»[1] κατὰ τὸ γεγραμμένον. Διανοεῖται οὖν ὁ Ἀδριανὸς τὴν πόλιν κτίσαι, οὐ μὴν τὸ ἱερόν. Καὶ λαβὼν τὸν Ἀκύλαν τοῦτον τὸν προγεγραμμένον, ἑρμηνευτὴν Ἕλληνα ὄντα, ὡς καὶ αὐτὸς ὁ Ἀδριανὸς Ἕλλην ὑπῆρχεν· ἦν δὲ ὁ Ἀκύλας αὐτοῦ τοῦ βασιλέως πενθερίδης, ἀπὸ Σινώπης δὲ τῆς Πόντου ὁρμώμενος καθίστησιν αὐτὸν ἐκεῖσε ἐν Ἱεροσολύμοις ἐπιστάτην τοῖς ἔργοις τῶν τῆς πόλεως κτισμάτων, ἐπιτεθεικὼς τῇ

1. Ἡσ. 1, 8.

366 γράψαι (γράψας VS) J VS Lag$^{r}$ Lag. αἰτιωμένην J L VS Lag$^{r}$ Lag. 366-367 εἰδυῖαν τῆς περικειμένης αὐτῷ νόσου ἕνεκα. Στέλλεται L VS Lag$^{r}$ 367 post νόσου add. αἰτίας $V_1$ post νόσου add. αἰτιάσας $V_2$ post Στέλλεται add. δὲ Dind. 367-368 ἐπὶ τὴν Αἰγύπτου γῆν Lag. 368 post ἑξῆς add. πατρίδας $V_1$ $V_2$ 369 πόλεις om. $V_1$ $V_2$ in loco φιλοΐστωρ : ὁ ἀγαπῶν νὰ περιηγῆται χώρας Lag$^{s}$ 470 Ἀντ. πάλιν J VS Lag$^{r}$ τε om. Op. post Κοίλην add. Συρίαν Lag$^{s}_{2}$ 371 ἔτη τεσσαράκοντα καὶ ἑπτὰ L τεσσαράκοντα ἑπτὰ Lag. 373 ἣν VS post Τίτος add. ὁ $V_1$ $V_2$ 374 β' Lag$^{s}_{2}$ τῆς Αὐγούστου βασιλείας $V_1$ $V_2$ ηὗρε Dind. εὑρὼν Lag. ἠδαφισμένην πᾶσαν $V_1$ $V_2$ 376 μιᾶς οὔσης $V_2$ ἀποστρέψαντες $V_1$ $V_2$ 378 τουτέστιν $V_2$ post ἥτις add. καὶ $V_1$ $V_2$ 378-379 παρελήφθη J L VS παρελείφθη Pet. 379-380 καὶ μέρη... περιελείφθη om. $V_1 V_2$ 380 εἱστήκεσαν L μόνον om. J L VS Lag$^{r}$ περιελήφθην J VS περιελήφθη L Lag$^{r}$ 381 post Κωνσταντίνου om. τοῦ $V_1$ $V_2$ 382 Ἀνδριανὸς J VS Lag$^{r}$ 383 κτῆσαι VS 384 προειρημένον J L VS Lag$^{r}$ Lag. ὄντα Ἕλληνα $V_1$ $V_2$ 384 ὁ om. $V_1$ 384-685 ὡς ... ὑπῆρχεν om. Lag$^{r}$ 384-386 ... ὄντα καὶ αὐτοῦ πενθερίδην ἀπὸ Σινώπης... ὁρμώμενον J L VS Lag$^{r}$ 385 ὁ om. $V_1$ $V_2$ post αὐτοῦ add. μὲν $V_1$ $V_2$ 386 τοῦ Πόντου $V_2$ ἐκεῖσαι J VS ἐκεῖ Lag. 386-387 ἐν Ἱεροσολύμοις om. J L VS Lag$^{r}$ 387 ἐπιτάττειν $V_2$ J L VS Lag$^{r}$ ἐπιστατεῖν Dind.

οἰκοδομουμένῃ πόλει τὸ ἴδιον ὄνομα καὶ τοῦ βασιλικοῦ ὀνόματος τὸν χρηματισμόν. Ὡς γὰρ ὠνόμαστο Αἴλιος Ἀδριανός, οὕτω καὶ τὴν πόλιν ὠνόμασεν Αἰλίαν.

15. Ὁ τοίνυν Ἀκύλας διάγων ἐν τῇ Ἱερουσαλὴμ καὶ ὁρῶν τοὺς μαθητὰς [τῶν μαθητῶν] τῶν ἀποστόλων ἀνθοῦντας τῇ πίστει καὶ σημεῖα μεγάλα ἐργαζομένους ἰάσεων καὶ ἄλλων θαυμάτων· —ἦσαν γὰρ ὑποστρέψαντες ἀπὸ Πέλλης τῆς πόλεως εἰς Ἱερουσαλὴμ καὶ ἐν αὐτῇ διατρίβοντες καὶ διδάσκοντες. Ἡνίκα γὰρ ἔμελλεν ἡ πόλις ἁλίσκεσθαι ὑπὸ τῶν Ρωμαίων καὶ ἐρημοῦσθαι προεχρηματίσθησαν ὑπὸ ἀγγέλου τοῦ Θεοῦ πάντες οἱ μαθηταὶ μεταστῆναι ἀπὸ τῆς πόλεως, μελλούσης ἄρδην ἀπόλλυσθαι. Οἵτινες μετανάσται γενόμενοι ᾤκησαν ἐν Πέλλῃ τῇ προγεγραμμένῃ πόλει, πέραν τοῦ Ἰορδάνου· ἡ δὲ πόλις ἐκ Δεκαπόλεως λέγεται εἶναι. Μετὰ δὲ τὴν ἐρήμωσιν Ἱερουσαλὴμ ἐπαναστρέψαντες, ὡς ἔφην, εἰς τὰ Ἱεροσόλυμα σημεῖα μεγάλα, ὡς προεῖπον, ἐπετέλουν. Ὁ οὖν Ἀκύλας κατανυγεὶς τὴν διάνοιαν τῷ χριστιανισμῷ ἐπίστευσε καὶ μετὰ χρόνον αἰτήσας τὴν ἐν Χριστῷ σφραγῖδα ἐκομίσατο. Ἀπὸ δὲ τῆς πρώτης αὐτοῦ ἕξεως ὅτε τὰ τῶν Ἑλλήνων ἐφρόνει μὴ μεταθέμενος τοῦ πιστεύειν δηλονότι τῇ ματαίᾳ ἀστρονομίᾳ, ἣν ἀκριβῶς ἐκπεπαίδευτο, ἀλλὰ καθ' ἑκάστην ἡμέραν τὸ θέμα τῆς αὐτοῦ γενέσεως σκεπτόμενος, ἐλεγχόμενός τε ὑπὸ τῶν διδασκάλων καὶ ἐπιτιμώμενος ἕνεκα τού-

388 οἰκοδομουμένη om. J L VS Lag$^r$ κτιζομένη V$_1$ V$_2$ 389 ὡς γὰρ ἐχρημάτιζεν V$_1$ V$_2$ post γὰρ add. ἐκεῖνος J L VS Lag$^r$ Ἀνδριανὸς J VS Lag$^r$ 389 - 390 ὠνόμασεν Αἰλίαν τὴν πόλιν V$_1$ V$_2$ 391 διάγων διάγων V$_2$ post ἐν add. αὐτῇ V$_1$ V$_2$ 392 τῶν μαθητῶν om. Dind. 393 post καὶ add. τῶν V$_1$ V$_2$ ἐπιστρέψαντες V$_2$ 394 Πελτῆς V$_1$ V$_2$ Πέλτης J L VS Lag$^r$ post εἰς add. αὐτὴν τὴν V$_1$V$_2$ καὶ ἐν αὐτῇ διατρίβοντες om. J L VS Lag$^r$ διαιτώμενοι Lag. 395 Ὁπηνίκα V$_1$ V$_2$ ὑ π. Lag$^r$ οἱ π. Op. 395 - 396 καὶ ἐρημοῦσθαι om. J L VS Lag$^r$ 396 τοῦ om. Lag$^s$ τοῦ Θεοῦ om. J L VS Lag$^r$ 397 post πόλεως add. ὡς V$_1$ V$_2$ post μελούσης add. τῆς πόλεως V$_1$ V$_2$ post οἵτινες add. καὶ J L VS Lag$^r$ 398 Πέλτῃ V$_1$ V$_2$ L VS Lag$^r$ (ἐν Lag$^r$ ἄνευ ὑπογεγραμμένης) 399 Ἰορδάνου, ἥτις ἐκ J L VS Lag$^r$ αὕτη δὲ πόλις λέγεται εἶναι ἐκ τῆς Δεκαπόλεως V$_1$ V$_2$ 400 Ἱεροσολύμων V$_1$ V$_2$ ὡς ἔφην, εἰς τὰ Ἱεροσόλυμα om. J L VS Lag$^r$ εἰς Ἱερουσαλὴμ Lag$^s$ εἰς τὰ Ἱεροσύλυμα om. Lag. 401 ὡς προεῖπον, om. J L VS Lag$^r$ Lag. ἐπετέλει VS 402 αἰτήσας δὲ μετὰ χρόνον J L VS Lag$^r$ Lag. 403 ὅτε τὰ τῶν ἐθνῶν ἐφρόνει Lag. ὅτε τὰ τῶν Ἑλλήνων ἐφρόνει om. J L VS Lag$^r$ 403 - 404 μὴ μετατεθέμενος τοῦ πιστεύειν δηλονότι om. V$_1$ V$_2$ 404 - 405 τὴν ματαίαν ἀστρονομίαν ἄκρως ἐπαιδεύετο V$_1$ V$_2$ ἐπεπαίδευτο Dind. 405 post ἐκπεπαίδευτο add. ὡς καὶ (καὶ ὡς καὶ V$_2$) χριστιανὸς γενόμενος ἀπὸ τῆς τοιαύτης αὐτοῦ πλάνης οὐκ ἀπείχετο V$_1$ V$_2$ ὥστε καὶ χριστιανὸς γενόμενος τῆς οἰκίας πλάνης τοιαύτης οὐ μετέθετο Lag. 405 - 409 ἡμέραν δῆθεν τοῦ αὐτοῦ γενεσειδίου τὸ θέμα (τὰ θέματα V$_1$) ἐσκέπτετο, ὑπὸ δὲ τῶν διδασκάλων ἠλέγχετο· οἱ ἐπιτιμῶντες αὐτῷ περὶ τούτου καθέκαστα οὐδὲν ἤνυον, ἀλλὰ μᾶλλον καὶ ἀναισχύντως φερόμενος ἐτόλμα ἀντιλέγειν καὶ συνιστᾶν ἐπειρᾶτο τὰ μὴ σύστασιν ἔχοντα περὶ εἱμαρμένης διηγήματα ὡς τοίνυν ἀχρήστου αὐτοῦ ὄντος καὶ σωθῆναι μὴ δυναμένου, ἐξεῶσιν αὐτὸν τῶν ἐκκλησιῶν (τῆς ἐκκλησίας V$_2$) V$_1$ V$_2$

του καθ' ἡμέραν, μὴ διορθούμενος δέ, ἀλλὰ καὶ φιλονείκως μᾶλλον ἀντιτιθέμενος καὶ σπεύδων συνιστᾶν τὰ ἀσύστατα, τὴν εἱμαρμένην δηλονότι καὶ τὰ περὶ αὐτῆς διηγήματα, ἐξεώσθη πάλιν τῆς ἐκκλησίας ὡς ἄχρηστος πρὸς σωτηρίαν. Πικρανθεὶς δὲ τὴν διάνοιαν ὡς ἠτιμωμένος εἰς ζῆλον μάταιον αἴρεται καὶ τὸν χριστιανισμὸν ἀναθεματίσας καὶ τὴν αὐτοῦ ζωὴν ἀρνησάμενος προσηλυτεύει καὶ περιτέμνεται Ἰουδαῖος καὶ ἐπιπόνως φιλοτιμησάμενος ἐξέδωκεν ἑαυτὸν μαθεῖν τὴν Ἑβραίων διάλεκτον καὶ τὰ αὐτῶν στοιχεῖα. Ταύτην δὲ ἀκρότατα παιδευθεὶς ἡρμήνευσεν οὐκ ὀρθῷ λογισμῷ χρησάμενος, ἀλλ' ὅπως διαστρέψῃ τινὰ τῶν ῥητῶν, ἐνσκήψας τῇ τῶν ἑβδομήκοντα δύο ἑρμηνείᾳ, ἵνα τὰ περὶ Χριστοῦ ἐν ταῖς γραφαῖς μεμαρτυρημένα ἄλλως ἐκδώσῃ, δι' ἥν εἶχεν αἰδῶ εἰς ἄλογον αὐτοῦ ἀπολογίαν.

16. Καὶ γίνεται οὕτω δευτέρα ἡ τούτου ἑρμηνεία, μετὰ ἀριθμὸν τοσούτων χρόνων, ὡς ἀνωτέρω γεγράφαμεν. Ἠδυνάμεθα δὲ εἰπεῖν καὶ τὰς παραπεποιημένας αὐτῷ καὶ ἐνδιαστρόφως ἑρμηνευθείσας λέξεις, ἀγαπητέ, τὸν ἔλεγχον κατ' αὐτοῦ ἐχούσας ἐκ τῶν ὑπ' αὐτοῦ ἡρμηνευμένων. Ἀλλ' ἤδη περὶ τῆς τούτων διαφορᾶς ἄνω διηγησάμενοι ἱκανῶς ἔχειν ἕως τῶν ὧδε ἐδικαιώσαμεν. Μετὰ τοῦτον δὲ τὸν Ἀκύλαν καὶ τὴν αὐτοῦ ἑρμηνείαν διαδέχεται Ἀδριανὸν τὸν βασιλέα Ἀντωνῖνος ὁ ἐπικληθεὶς Πῖος, ἑρμηνευόμενος εὐσεβής, καὶ βασιλεύει χρόνους κβ'. Τοῦτον διαδέχεται Καράκαλλος ὁ καὶ Γέτας, ὅς καὶ Μᾶρκος Αὐρήλιος Σουῆρος ἐλέγετο καὶ βασιλεύει ἔτη ζ'. Ἐν τοῖς αὐτοῦ χρόνοις καὶ Λούκιος Αὐρήλιος Κόμοδος

407 καθ' ἡμέραν om. J L VS Lag$^r$ 408 καὶ ἀναζητῶν (?) Lag$^s$ περὶ τῆς εἱμαρμένης Lag$^s$ 409 ἐξώσθη VS 409 - 410 ὡς ἄχρηστος πρὸς σωτηρίαν om. $V_1$ $V_2$ 410 ὁ δὲ πικρανθεὶς $V_1V_2$ 411-412 χριστιανισμὸν ἀρνησάμενος καὶ τὴν αὐτοῦ ζωὴν J L VS Lag$^r$ προσηλητεύει L 412 - 413 Ἰουδαίοις ἐπιπόνως φιλοτιμώμενος $V_2$ 414 παιδευθεὶς (πεπαιδευμένος $V_2$) ἑρμηνείαν ἑαυτῷ ἡρμήνευσεν $V_1V_2$ ἑρμήνευσεν J L VS Lag$^r$ 415 διαστρεύχη VS 416 οβ' $V_1$ $V_2$ ἑρμηνείαν ἑαυτῷ ἡρμήνευσε ἑρμηνευτῶν, ἵνα δέξῃ (δέξῃ; $V_1$) $V_1$ $V_2$ post ταῖς add. θείαις $V_1$ $V_2$ 417 ἐκδοῦναι $V_1$ $V_2$ Lag$^s$ ἐκδώσει J L VS Lag$^r$ Lag. 417 - 418 ἀπολογίαν om. $V_1$ $V_2$ (ἐσβεσμένον) 419 γίνεται αὕτη Lag$^s$ Καὶ γίνεται ... ἑρμηνεία om. $V_1$ $V_2$ (ἐσβεσμένον) 419 - 420 (ἡ $V_1$) τοῦ Ἀκύλα μετὰ τοσοῦτον χρόνον ὃν καὶ τὸν ἀριθμὸν τῶν ἐτῶν ἀνωτέρω γεγράφαμεν. Ἠδυνάμεθα $V_1$ $V_2$ 420 δὲ εἰπεῖν om. $V_1$ $V_2$ (ἐσβεσμένον) δὲ om. Op. Pet. post εἰπεῖν add. ἀγαπητὲ Lag$^s$ (Ὑπῆρχεν καὶ ἐν τοῖς κώδιξι $V_1$ $V_2$ ἀλλ' εἶναι ἐσβεσμένον) καὶ τὰς om. $V_2$ 421 παραπεπλημένας (;) $V_1$ παραπεπληγμένας $V_2$ post αὐτῷ add. λέξεις $V_1$ $V_2$ καὶ ἐνδιαστρόφως ἑρμηνευθείσας om. J L VS Lag$^r$ Lag. 421 - 422 ἑρμηνευθείσας ἐχούσας τὸν ἔλεγχον $V_1$ $V_2$ κατ' αὐτοῦ ἐκ τῶν ὑπ' αὐτοῦ om. $V_1$ $V_2$ (ἐσβεσμένον) 423 post ἤδη add. δὲ $V_1$ $V_2$ διηγησάμενος $V_2$ τῶν om. Lag$^s$ 425 Ἀνδριανὸν J VS Lag$^r$ τὸν ηᾶ $V_1$ $V_2$ Πίος Lag. 426 δὲ εὐσ. Lag$^s$ κβ' ἐτῶν χρόνον $V_1$ $V_2$ . χρόνον λβ' ἐτῶν Lag$^s$ 427 Αὐρίλιος Θοῆρος Pet. Σευῆρος (Οὔηρος, ἐν τῇ ᾠᾳ) $V_2$ Αὐρήλιο σουῆρο(ς) L Σουῆρ J VS Lag$^r$ Οὐῆρος Lag. 427, 428 Αὐρίλιος J VS Lag$^r$ 428 ἔτη

βασιλεύει τὰ αὐτὰ ἑπτὰ ἔτη. Περτίναξ μῆνας ἕξ. Σευῆρος ἔτη ιη΄.᾿Εν τοῖς τοῦ Σευήρου χρόνοις Σύμμαχός τις Σαμαρείτης τῶν παρ᾿ αὐτοῖς σοφῶν μὴ τιμηθεὶς ὑπὸ τοῦ οἰκείου ἔθνους νοσήσας φιλαρχίαν καὶ ἀγανακτήσας κατὰ τῆς ἰδίας φυλῆς προσέρχεται ᾿Ιουδαίοις καὶ προσηλυτεύει καὶ περιτέμνεται δευτέραν περιτομήν. Καὶ μὴ θαύμαζε περὶ τούτου, ὦ ἀκροατά· γίγνεται γάρ. ῞Οσοι γὰρ ἀπὸ ᾿Ιουδαίων Σαμαρείταις προσφεύγουσιν ἀντιπεριτέμνονται· ὡσαύτως καὶ οἱ ἀπὸ Σαμαρειτῶν πρὸς ᾿Ιουδαίους ἐρχόμενοι. Τὸ δὲ ἔτι τούτων χαλεπώτερον, ὅτι καὶ ἀπὸ περιτομῆς ἀκρόβυστοι γίνονται, τέχνῃ τινὶ ἰατρικῇ διὰ τοῦ καλουμένου σπαθιστῆρος τὴν τῶν μελῶν ὑποδερματίδα ὑποσπαθισθέντες, ῥαφέντες τε καὶ κολλητικοῖς περιδεθέντες ἀκροβυστίαν αὖθις αὐτοῖς ἐπιτελοῦσιν. ῎Εχεις καὶ τὴν μαρτυρίαν παρὰ τῷ ἁγίῳ ἀποστόλῳ, ὦ φιλοκαλώτατε, δι᾿ ὧν αὐτοῖς ῥήμασιν ὧδέ πως λέγει «περιτετμημένος τις ἐκλήθη ; μὴ ἐπισπάσθω. ᾿Εν ἀκροβυστίᾳ τις ὑπάρχει; μὴ περιτεμνέσθω»[1]. Ταύτην δὲ τὴν παράδοσιν τῆς κακοδαίμονος ἐννοίας φασί τὸν ᾿Ησαῦ τὸν ἀδελφὸν τοῦ ᾿Ιακὼβ εὑρηκέναι πρὸς ἀπαρνησιθεῖαν καὶ πρὸς ἀφανισμὸν τοῦ τῶν πατέρων αὐτοῦ χαρακτῆρος.Δι᾿ ὅ φασι τὸν Θεὸν εἰρηκέναι «τὸν ᾿Ησαῦ ἐμίσησα, τὸν δὲ ᾿Ιακὼβ ἠγάπησα»[2]. Οὗτος τοίνυν ὁ Σύμμαχος πρὸς διαστροφὴν τῶν παρὰ Σαμαρείταις ἑρμηνειῶν ἑρμηνεύσας τὴν τρίτην ἐξέδωκεν ἑρμηνείαν.

17. Μετὰ τοῦτον δὲ κατὰ πόδας ἐν τῷ ἑξῆς χρόνῳ, τοῦτ᾿ ἔστι περὶ τὴν τοῦ Κομόδου βασιλείαν, φημὶ δὲ τοῦ δευτέρου Κομόδου τοῦ βασιλεύσαν-

1. Α΄ Κορ. 7, 18   2. Πρβλ. Μαλ. 1, 2 - 3

ἑπτὰ $V_1$ $V_2$   ἐν τούτοις τοῖς χρόνοις $V_1$ $V_2$   ἐν τοῖς τούτου χρόνοις L   429 ζ΄ ἔτη L   ἔτη ἑπτὰ $V_1$ $V_2$   Περιτίναξ J VS $Lag^r$   μῆνας ς΄ J VS Lag.   Σευεριανὸς J $Lag^r$   Σευηριανὸς VS   430 Οὐήρου $Lag^s$ Lag.   Σευήρου χρ. * (καὶ ἐν τῇ ὤᾳ ἄνω) * τῇ δούλῃ ἀκροβυστάου καί τις τὸ ἐπεχύρισεν VS   Σαμαρίτις VS   430 - 431 μὴ τιμηθεὶς om. VS $Lag^r$ (ἐν VS ἐσβεσμένον. Προφανῶς ὁ ἀντιγράφων τὸν κώδικα δὲν ἠδυνήθη νὰ ἀναγνώσῃ τὴν λέξιν)   431 τοῦ ᾿Ιουδαίων Σαμαρειτῶν ἔθνους $V_1$ $V_2$   post ἔνθους add. καὶ $Lag^s$   432 προσέρχεται om. VS $Lag^r$ (ἐσβεσμένον) προ...Op.   προωχθεὶς Pet.   433 θαυμάσῃς ὦ ἀκροατὰ $V_1$   θαυμάσῃς ἀκροατὰ $V_2$   τούτου om. $Lag^r$ (ἐσβεσμένον)   434 γίνεται $Lag^r$   435 καὶ ὡσαύτως οἱ $V_1$ $V_2$ $Lag^s$   436 ἐρχ. τὸ αὐτὸ ποιοῦσι $Lag^s$   ἔτι τοῦτο $V_2$   καὶ om. $V_2$   437 σπαθιστῆρος καλουμένου $V_1$ $V_2$   σπαθηστῆρος VS $Lag^r$   438 ἀποδερματίδα $V_1$ $V_2$   ἐπιδερματίδα (?) $Lag^s$   438 - 439 κολλητικοῖς φαρμάκοις περιοδευθέντες $V_1$ $V_2$ J L VS $Lag^r$   439 αὖθις αὐτὴν VS $Lag^r$ Lag.   αὐτοὶ ἑαυτοῖς $Lag^s$   ἀποτελοῦσιν J L VS $Lag^r$ Lag.   440 πως om. $Lag^s$   442 δὲ om. $V_1V_2$   443 εὑρηκέναι VS   ηὑρηκέναι Dind. Lag.   443 - 444 ἀπάρνησιν θείαν $V_2$ L   444 διὸ Dind.   445 ἐμίσησα τὸν ᾿Ησαῦ J L VS $Lag^r$ Lag.   δὲ om. $V_2$   445 - 446 οὕτως $V_2$   448 κατὰ πάσας $V_2$   τουτέστι J L   τοῦτ᾿ ἐστὶ Lag.   τὴν om. VS (ἐσβεσμένον)   448 - 449 τὴν Κομόδου $V_1$ $V_2$   449 φημὶ δὴ $V_1$ $V_2$   τοῦ δευτέρου Κομόδου βασιλείαν... L   Κομόδου τοῦ δευτέρου Lag.   449 - 450 τοῦ δευτέρου Κοδόμου βασιλέως τοῦ βασιλεύσαντος μετὰ τὸν προειρημένον Κόμοδον Λούκιον Αὐρίλιον J VS $Lag^r$   φημὶ...

τος μετὰ τὸν προειρημένον Κόμοδον Αὐρήλιον ἔτη ιγ', Θεοδοτίων τις Ποντικὸς ἀπὸ τῆς διαδοχῆς Μαρκίωνος τοῦ αἱρεσιάρχου τοῦ ἀπ' αὐτῆς τῆς Σινώπης ὁρμωμένου καὶ αὐτὸς μηνιῶν τῇ ἑαυτοῦ αἱρέσει καὶ εἰς Ἰουδαϊσμὸν ἀποκλίνας καὶ περιτμηθείς, καὶ τὴν τῶν Ἑβραίων φωνὴν καὶ τὰ αὐτῶν στοιχεῖα παιδευθείς, ἰδίως καὶ αὐτὸς ἐξέδωκε. Διὸ τὰ πλεῖστα τοῖς ἑβδομήκοντα δύο συνᾳδόντως ἐξέδωκε. Τριβὰς γὰρ εἶχε καὶ οὗτος τὰς πλείστας ἀπὸ τῆς συνηθείας τῶν ἑβδομήκοντα δύο ἑρμηνευτῶν. Κριτὴς τοίνυν γένοιο, ὦ φιλοκαλώτατε, τῆς τοιαύτης ὑποθέσεως, παρὰ τίσι μᾶλλον εὑρεθήσεται ἡ ἀλήθεια, παρὰ τοῖς τρισὶ τούτοις, Ἀκύλᾳ λέγω καὶ Συμμάχῳ καὶ Θεοδοτίωνι, τοῖς μὴ ἐπὶ τὸ αὐτὸ γενομένοις, ἀλλ' ἰδίᾳ ἑκάστῳ καὶ ἐν καιρῷ καὶ τόποις ἀλλήλων διεστῶσι, καὶ οὐ πολλοῖς, ἀλλὰ τρισὶ μόνοις, καὶ μὴ δυνηθεῖσιν ἀλλήλοις συμφωνῆσαι, ἢ παρὰ τοῖς ἑβδομήκοντα δύο, τοῖς πρώτοις ἑρμηνεύσασι καὶ ὑφ' ἕνα καιρὸν γεγονόσι καὶ εἰς τριάκοντα ἓξ μέρη κατὰ πρόσταγμα τοῦ βασιλέως διαιρεθεῖσι καὶ ἄνευ τοῦ πρὸς ἀλλήλους συνδυάσαι ἐκ πνεύματος δὲ ἁγίου ὑπὸ μίαν συμφωνίαν τὴν πᾶσαν ἑρμηνείαν ἐκδεδωκόσι καὶ ὅπου προσθήκης γέγονε χρεία σαφηνείας ἕνεκα τοῦ λόγου τὸ αὐτὸ προσθεῖσι καὶ συμφώνως ἀλλήλοις συμφωνήσασι καὶ ἐκδοῦσι καὶ ταῦτα ἀγνοοῦσι τὶ ἕκαστος καθ' ἑαυτὸν ἑρμηνεύει· ὅπου δὲ πάλιν ἐκβολῆς λόγων τινῶν χρεία, ἐπ' ἴσης ἐκβαλοῦσι καὶ συνᾳδόντως ἑρμηνεύσασιν, ὥσπερ εἰ ἐν τῷ ἅμα πάντες ἐκάθηντο καὶ συμβουλευτικῶς

Κόμοδον om. L (εἰς τὸ ἄνω μέρος ὁ κῶδιξ εἶναι ἐσχισμένος καὶ οὕτω ἐλλείπει ἡ πρώτη σειρά)   τοῦ βασιλεύσαντος... ιγ' om. $V_1$ $V_2$ (Ἀντὶ τούτου ἐν τῷ $V_2$ μετὰ τὸ δεύτερον «Κομόδου» ἐπαναλαμβάνεται «βασιλείαν φημὶ δὴ τοῦ δευτέρου Κομόδου»).
450 Αὐρίλλιον L   451 τῆς διδαχῆς Lag$^s$   τοῦ αἱρετικοῦ ἤτοι αἱρεσιάρχου ἀπ' αὐτῆς τῆς $V_2$   451 - 452 τοῦ Σινωπίτου μηνίων (μηνιῶν L VS) καὶ αὐτὸς τῇ αὐτοῦ J L VS Lag$^r$ Lag.   453 κλίνας $V_1$ $V_2$   454 ἐξέδωκεν Lag.   454 - 455 οβ' $V_1$ $V_2$ J L VS   455 καὶ om. $V_2$ J L VS Lag$^r$   456 post συνηθείας add. τῆς ἑρμηνείας Lag$^s$   οβ' $V_1$ $V_2$ J VS Lag$^r$   οβ' ἑρμηνείας $V_2$   ἑρμηνευτῶν om. J L VS Lag$^r$   456 - 457 γένοιο τοίνυν κριτὴς J L VS Lag$^r$ Lag.   457 - 458 εὐρεθήσεται VS   459 Θεοδοτίονι Lag.   τοῖς οὐδὲ $V_1$ $V_2$   τοῖς μηδὲ Lag$^s$ Lag.   γεγόνοσι $V_1$ $V_2$   ἕκαστον J L VS Lag$^r$   ἕκαστος Lag.   460 post καιρῷ add. καὶ καιρῷ $V_1$ $V_2$   καὶ ἐν τόποις Lag$^r$   461 δυνηθεῖν ἄλλοις J VS Lag$^r$   δυνηθεὶς L   οβ' $V_1$ $V_2$   462 τοῖς πρώτοις (τοῖς L) ὑφ' ἕνα καιρὸν γεγονόσι καὶ ἑρμηνεύσασι J L VS Lag$^r$   τοῖς ὑφ' ἕνα καιρὸν γεγονόσιν καὶ πρώτοις ἑρμηνεύσασι Lag.   462 - 463 λς' $V_1$ $V_2$   post πρόσταγμα om. τοῦ J L VS Lag$^r$ Lag.   464 συνδοιάσαι VS Lag$^r$   δὲ om. L Lag.   465 ἐκδεδώκασι $V_1$ $V_2$ J L VS Lag$^r$   466 τὸ αὐτὸ om. J L VS Lag$^r$   συμπεφωνήσασι J L VS Lag$^r$   466 - 467 καὶ συμφώνως... ἐκδοῦσι. (Ὑπὸ τοῦ Lag$^s$ τίθεται μετὰ τὸ «ἑρμηνεύει» στ. 467)   466 - 571 λόγου πᾶσιν τὸ αὐτὸ καίτοι γε ἀγνοοῦσιν τί ἕκαστος καθ' ἑαυτὸν ἑρμηνεύσει συμφώνως ἀλλήλοις συμπεφώνηται καὶ ἴσως ἐξεδώθη, ὅπου δὲ λόγον ἐξέβαλον συνᾳδόντως ἀλλήλοις ἑρμηνεύσασιν, ὥστε $V_1$ $V_2$   467 ἐπ' ἴσης ἐκδοῦσι Lag$^s$   468 ἐπίσης J L VS   468 - 469 δὲ λόγους ἐξέβαλον συνᾳδόντως ἀλλήλοις ἡρμήνευσαν Lag$^s$   469 ἡρμηνεύσασι Op.   εἰ om. Lag$^r$   συμβολευτικῶς J VS Lag$^r$   469 - 471 ὥσπερ... ἀλήθεια om. $V_1$ $V_2$ Lag$^s$

ἀλλήλοις ἡρμήνευον. Εὔδηλον ὅτι ἐν τοῖς ἑβδομήκοντα δύο εὑρεθήσεται ἡ ἀλήθεια. Ὥστε γνωστὸν τοῦτον τοῖς φιλαλήθως ἐξετάζειν βουλομένοις, ὅτι οὐ μόνον ἑρμηνευταὶ ἐκεῖνοι γεγόνασιν, ἀλλὰ καὶ ἀπὸ μέρους προφῆται. Ὧν γὰρ οὐκ ἦν χρεία εἰς ἑρμηνείαν παρῆκαν, ἅτινα εἰς ὕστερον ἐν τοῖς σφῶν αὐτῶν τόποις μετὰ ἀστερίσκων Ὠριγένης συνέθηκεν. Ὡσαύτως δὲ καὶ τὰ προστεθέντα οὐκ ἀφείλατο, εἰδὼς ὅτι αὐτῶν μᾶλλόν ἐστι χρεία, ἀλλὰ μετὰ ὀβελῶν ἔνθα ἕκαστον τῶν εἰρημένων εὗρεν εἴασε, μόνον σημειωσάμενος διὰ τοῦ ὀβελοῦ τὴν περὶ τῆς τοῦ τόπου ἀναγνώσεως εἴδησιν. Διὰ δὲ τῶν λιμνίσκων ὡσαύτως ἐδήλωσε τῶν παρά τισιν ἐκ τῶν ἑβδομήκοντα δύο ἑρμηνευτῶν συναμφοτέρως εὑρεθεισῶν, ὡς ἐν σπάνει ὀλίγων λέξεων οὐκ ἀνομοίων οὐσῶν, ἀλλ' ὁμοίων μὲν καὶ τὴν αὐτὴν δύναμιν ἐχουσῶν, ὡς ἂν εἴποι τις ἀντὶ τοῦ «ἐλάλησεν» «ἐφθέγξατο», ἢ ἀντὶ τοῦ «ἦλθεν» «ἐλήλυθε». Καὶ ταῦτα μὲν περὶ τῶν τεσσάρων ἑρμηνειῶν σοι γεγράφαμεν.

18. Περὶ δὲ τῆς πέμπτης καὶ ἕκτης ἐκδόσεως οὐκ ἔχω εἰπεῖν τίνες ἢ πόθεν ἑρμηνεύσαντες, ἢ μόνον ὅτι μετὰ τὸν διωγμὸν τοῦ βασιλέως Σευήρου εὑρέθη ἡ πέμπτη ἐν πίθοις ἐν Ἰεριχῷ κεκρυμμένη ἐν χρόνοις Ἀντωνίνου τοῦ υἱοῦ Σευήρου τοῦ ἐπικληθέντος Καρακάλλου τε καὶ Γέτα. Καθ' ἑξῆς γὰρ ὁ τῶν ἀπὸ Ἀντωνίνου τοῦ Πίου, τοῦ εὐσεβοῦς ἑρμηνευομένου χρόνος τῶν βασιλευσάντων ταύτην ἔσχε τὴν διαδοχήν. Μετὰ Ἀντωνῖνον τὸν Πῖον βασιλεύει Μᾶρκος Αὐρήλιος Ἀντωνῖνος, ὁ καὶ Οὐῆρος, ἔτη ιθ'. Ἐλέγετο δὲ ὁ αὐτὸς Κόμοδος Λούκιος. Ἐν δὲ τῷ χρόνῳ τούτου, ὡς προεῖπον, Σύμμαχος ἐγνωρίζετο ὁ ἑρμηνευτής. Μετὰ τοῦτον Κόμοδος ἄλλος βασιλεύει ἔτη ιγ', περὶ οὗ χρόνον γνωρισθῆναι Θεοδοτίωνα εἴδομεν, τὸν ἐκ Μαρκιωνιστῶν Ἰουδαῖον γεγονότα καὶ τὴν τετάρτην ἑρμηνείαν ἑρμηνεύσαντα.

470 ἄδηλον VS οβ' J VS εὑρεθήσεται VS 474 φωνῶν αὐτῶν Pet. Ὠριγένης ἔθηκεν Lag^s 475 προτεθέντα J VS Lag^r ἀφείλαντο $V_1$ $V_2$ ἀφείλετο Op. Pet. 476 ὀβελλῶν VS ηὗρεν Dind. Lag. 478 λιμν. καὶ ὑπολιμνίσκων Lag. οβ' $V_1$ ἑβδομήκοντα δύο om. $V_2$ 479 σπανολογίᾳ (?) Lag^s post λέξεων add. τὴν δήλωσιν J L VS Lag^r Lag. 480 ἀνομ. ὡσὰν VS οὐσῶν οὐσῶν $V_2$ 481 post ἐλάλησεν add. τὸ Lag^s ἐλήλυθεν Lag^r 482 ἑρμηνευτῶν $V_1$ $V_2$ 483 ἕκτης VS 484 post ἑρμηνεύσαντες add. ἀλλ' Lag. Οὐήρου Lag. 485 ηὑρέθη Lag. Ἀντωνίνου om. J L VS 485 - 486 εὑρέθη... Σευήρου om. Lag^r Ἀντωνίνου υἱοῦ $V_1V_2$ 486 τοῦ καὶ Γέτα $V_2$ καθεξῆς $V_1$ $V_2$ J 487 ἐπικεκλημένου καθ' ἑρμηνείαν ὁ J L VS Lag^r 487 - 488 Πίου (τοῦ εὐσεβοῦς ἐπικεκλημένου) βασιλευσάντων ὁ χρόνος Lag. 488 Πίον Lag. 489 Ἀντωνῖνος om. $V_2$ post καὶ add. αὐτὸς Lag. Οὔηρος $V_1$ $V_2$ Οἦρος J VS ἦρος Lag^r 489 - 490 ἐχρημάτιζε δὲ αὐτὸς $V_1$ $V_2$ 489 - 491 ἐλέγετο... ἑρμηνευτὴς om. J L VS Lag^r 490 τούτῳ... προείπομεν $V_1$ $V_2$ (μεταξὺ τῶν δύο λέξεων μεσολαβεῖ μικρὸν διάστημα τεσσάρων ἢ πέντε γραμμάτων) 492 περὶ ὃν $V_1$ $V_2$ L χρόνου Op. Θεοδοτίονα Lag. εἴπομεν J L VS Lag^r 492 - 493 χρ. καταλαμβάνομεν γνωρίζειν Θεοδοτίωνα καὶ ἀπὸ Μαρκιωνιστῶν ἰουδαΐσαντα καὶ $V_1V_2$ ἐκ Μαρκιωνιστῶν... καὶ om. J L VS Lag^r

Κόμοδον δὲ τοῦτον διαδέχεται Περτίναξ καὶ βασιλεύει μῆνας ἕξ. Τοῦτον διαδέχεται Σευῆρος καὶ βασιλεύει σὺν τῷ υἱῷ αὐτοῦ Ἀντωνίνῳ τῷ καὶ Γέτᾳ ἔτη ιη΄. Τελευτήσαντος δὲ τοῦ Σευήρου διαδέχεται τὴν ἀρχήν αὐτοῦ Ἀντωνῖνος Γέτας ὁ υἱὸς αὐτοῦ ὁ ἐπικληθεὶς Καράκαλλος καὶ ποιεῖ ἔτη ζ΄. Ἐν ταῖς ἡμέραις τούτου, ὡς προεῖπον, εὑρέθησαν αἱ βίβλοι τῆς πέμπτης ἐκδόσεως ἐν πίθοις ἐν Ἱεριχῷ κεκρυμμέναι μετὰ ἄλλων βιβλίων ἑβραϊκῶν καὶ ἑλληνικῶν. Τὸν δὲ Καράκαλλον διαδέχεται Μακρῖνος καὶ βασιλεύει ἔτος ἕν. Τοῦτον διαδέχεται Ἀντωνῖνος ἕτερος, βασιλεύσας ἔτη δ΄. Μετὰ τοῦτον ἐβασίλευσεν Ἀλέξανδρος ὁ Μαμαίας παῖς, ἔτη ιγ΄. Ἐν μέσῳ τῶν χρόνων τούτων εὑρέθη ἕκτη ἔκδοσις καὶ αὐτὴ ἐν πίθοις κεκρυμμένη ἐν Νικοπόλει τῇ πρὸς Ἀκτίᾳ. Μετὰ τοῦτον βασιλεύει Μαξιμιανὸς ἔτη γ΄. Τοῦτον διαδέχεται Γορδιανὸς καὶ βασιλεύει ἔτη ἕξ. Μετὰ τοῦτον βασιλεύει Φίλιππος ἐπὶ ἔτεσιν ἑπτά. Τοῦτον διεδέξατο Δέκιος καὶ ἐβασίλευσεν ἐνιαυτὸν ἕνα καὶ μῆνας γ΄. Ἐν τοῖς χρόνοις Δεκίου Ὠριγένης ἐγνωρίζετο ἀπὸ χρόνων Δεκίου ἀκμάσας ἕως χρόνων Γαλιήνου καὶ Οὐολουσιανοῦ καὶ ἐπέκεινα. Ἐπὶ δὲ τοῦ διωγμοῦ τοῦ προειρημένου Δεκίου γεγονότος ἐμαρτύρησε Βαβύλας μὲν ἐν Ἀντιοχείᾳ, Φλαβιανὸς δὲ ἐπὶ Ῥώμης, Ἀλέξανδρος ἐπίσκοπος Ἱεροσολύμων ἐν Καισαρείᾳ. Καὶ αὐτὸς δὲ Ὠριγένης ὁ καὶ Ἀδαμάντιος κληθεὶς πολλὰ πεπονθὼς εἰς τέλος τοῦ μαρτυρίου οὐκ ἔφθασεν. Ἐλθὼν δὲ εἰς Καισάρειαν τὴν Στράτωνος καὶ διατρίψας εἰς Ἱεροσόλυμα χρόνον ὀλίγον, εἶτα ἐλθὼν εἰς Τύρον ἐπὶ ἔτη κη΄,

494 δὲ om. J L VS Lag$^r$ τοῦτον om. $V_1$ Περτιν $V_1$ Περιτίναξ J VS Lag$^r$ post Περτίναξ add. ἄλλος J L VS Lag$^r$ καὶ βασιλεύει om. $V_1$ $V_2$ (ἐσβεσμένον) μ. ς΄ $V_1$ $V_2$ Lag. Καὶ τοῦτον Lag$^s$ 495 - 496 Σευῆρος ἄλλος σὺν τῷ υἱῷ αὐτοῦ Ἀντωνίνῳ καὶ βασιλεύουσιν ἔτη ιη΄ J L VS Lag$^r$ 496 τοῦ om. J L VS Lag$^r$ Lag. 497 Ἀντωνῖνος ὁ υἱὸς αὐτοῦ ὁ καὶ Γέτας ἄλλος ὁ καὶ Καράκαλλος J L VS Lag$^r$ post Γέτας om. ὁ $V_1$ $V_2$ ὁ καὶ Καράκαλλος ἐπικληθεὶς J L VS Lag$^r$ 498 Ἐπὶ τούτου $V_1V_2$ Ἐν δὲ τῷ ἑβδόμῳ αὐτοῦ ἔτει εὑρέθησαν (εὐρέθησαν VS) καὶ βίβλοι J L VS Lag$^r$ ηὑρέθησαν Dind. Lag. 498 - 499 εὑρέθησαν τῆς πέμπτης ἐκδόσεως αἱ βίβλοι $V_1V_2$ 499 - 500 ἑβραϊκῶν καὶ ἄλλων βιβλίων $V_1V_2$ Lag$^s$ 500 Καράκαλλον (Κάραλον $V_2$) δὲ διαδέχεται Μαρκιανὸς $V_1V_2$ 500 - 501 Μακρῖνος... διαδέχεται om. J L VS Lag$^r$ 501 βασιλεὺσ $V_2$ 502 τέσσαρα $V_1$ 503 ηὑρέθη Dind. Lag. καὶ αὐτοὶ $V_2$ 504 κεκρυμμένην VS Ἀκτίους $V_1V_2$ L Ἀκτίνα VS 504 - 505 Μαξιμῖνος $V_1V_2$ 505 τρία J VS καὶ βασιλεύει ἔτη β΄ L ἕξ VS 506 ἔτεσιν ζ΄ Op. Pet. 507 post ἐν add. δὲ J L VS Lag$^r$ Lag. 508 γνωρίζεται $V_2$ post ἕως om. χρόνων J VS Lag$^r$ post χρόνων add. ἄλλου Pet. Γαληνοῦ $V_1$ $V_2$ 508 - 509 Οὐαλουσιανοῦ L VS Lag$^r$ 509 - 510 τοῦ γεγονότος (γεγονότως VS) διωγμοῦ τοῦ Δεκίου J L VS Lag$^r$ 510 μὲν Βαβύλας J L VS Lag$^r$ Lag. 511 post Ἀλέξανδρος add. δὲ Lag$^s$ 511 - 512 Καισαρείᾳ ἐν χρόνῳ τοῦ διωγμοῦ πολλὰ πεπονθὼς ὑπὸ Ἑλλήνων ἐν Ἀλεξανδρείᾳ. Αὐτὸς (ὁ $V_2$) Ὠριγένης ὁ καὶ ἀδαμάντιος ἐπικληθεὶς εἰς τέλος... $V_1V_2$ Lag$^s$ 512 ὁ καὶ Ἀδαμάντιος κληθεὶς om. J L VS Lag$^r$ 513 - 514 καὶ εἰς τὰ Ἱεροσόλυμα ὀλίγον χρόνον διέτριψεν $V_1$ $V_2$ 514 ἐπὶ om. Lag$^s$

ὡς ὁ λόγος ἔχει, τὴν μὲν πολιτείαν ἐνησκεῖτο, τὰς δὲ γραφὰς ἡρμήνευσεν, ὅτε καὶ τὰ ἑξαπλᾶ καὶ τὰς δύο τῶν ἑβραϊκῶν σελίδας ἄντικρυ ἐκ παραλλήλου μιᾶς ἑρμηνείας πρὸς τὴν ἑτέραν συνέθηκεν ἑξαπλᾶ τὰς βίβλους ὀνομάσας, καθ' ἅπερ ἄνω διὰ πλάτους εἴρηται.

19. Εὑρὼν δὲ τῆς πέμπτης καὶ ἕκτης ἐκδόσεως τὰς βίβλους καθ' ὃν εἴπομεν τρόπον, καὶ μὴ γνοὺς τίνες εἶεν οἱ ἑρμηνεύσαντες αὐτάς, καθ' οὓς εὑρέθησαν χρόνους ταῖς πρὸ αὐτῶν τέσσαρσιν ἀκολούθως τῇ παραθέσει συνυφήνας, τὴν μίαν πέμπτην ὠνόμασεν, ἐπιγράψας διὰ τοῦ πέμπτου στοιχείου τῆς πέμπτης τὸν ἀριθμὸν καὶ δηλώσας τὸ ὄνομα· ὡσαύτως δὲ καὶ τῇ μετ' αὐτὴν τὸ ἐπίσημον ἐπιγράψας τὸ τῆς ἕκτης ἑρμηνείας ὄνομα ἐδήλωσεν. Ἀλλὰ καὶ τεχνικῶς τοῦτο εἰργάσατο, ὅπερ τῶν φιλολόγων τινὰς λανθάνει. Ἐντυγχάνοντες γάρ τινες τοῖς ἑξαπλοῖς ἢ ὀκταπλοῖς — τετραπλᾶ γάρ εἰσι τὰ ἑλληνικά, ὅταν αἱ τοῦ Ἀκύλα καὶ Συμμάχου καὶ τῶν ἑβδομήκοντα δύο καὶ Θεοδοτίωνος ἑρμηνεῖαι συντεταγμέναι ὦσι· τῶν τεσσάρων δὲ τούτων σελίδων ταῖς δυσὶ ταῖς ἑβραϊκαῖς συναφθεισῶν ἑξαπλᾶ καλεῖται· ἐὰν δὲ καὶ ἡ πέμπτη καὶ ἡ ἕκτη ἑρμηνεία συναφθῶσιν ἀκολούθως τούτοις ὀκταπλᾶ καλεῖται· φημὶ δὴ ταῖς ἓξ ἑρμηνείαις καὶ ταῖς ἄλλαις δυσὶ τῇ μὲν ἑβραϊκοῖς στοιχείοις καὶ ῥήμασιν αὐτοῖς γεγραμμένῃ, τῇ δὲ ἑλληνικοῖς μὲν στοιχείοις ῥήμασι δὲ ἑβραϊκοῖς. Τινὲς τοίνυν, ὡς ἔφην, ταύταις ταῖς βίβλοις ἐντυγχάνοντες καὶ εὑρίσκοντες τὰς δύο ἑβραϊκὰς πρώτας κειμένας, μετὰ ταύτας δὲ πρώτην τὴν τοῦ Ἀκύλα τεταγμένην, μεθ' ἣν καὶ τὴν τοῦ Συμμάχου, ἔπειτα τὴν τῶν ἑβδομήκοντα δύο, μεθ' ἃς ἡ τοῦ Θεοδοτίωνος συντέτακται καὶ ἑξῆς

515 ὁ om. $V_1$ $V_2$ τῇ μὲν πολιτείᾳ $V_1$ $V_2$ εἰρώνευσεν $V_2$ 516 ἓξ ἁπλᾶ $V_2$ ἀντικρὺ $V_2$ 517 ἑτέραν om. $Lag^r$ ἑταίραν $Lag^s$ ἔθηκεν (?) $Lag^s$ ἑξαπλᾶς $V_1$ $V_2$ J $Lag^r$ 518 καθάπερ $V_1$ καθάπερ μοι $V_2$ J L 519 Εὗρον $V_1$ $V_2$ 520 post τίνες add. ἂν $V_1$ $V_2$ 521 εὑρέθη $V_1$ $V_2$ ηὑρέθησαν Dind. Lag. τέσαρσιν J ταῖς τέσσαρσι ταῖς πρὸ αὐτῶν $V_1$ $V_2$ 522 συνυφάνας $V_2$ ε′ ὠνόμασεν $V_1$ $V_2$ L τοῦ ε′ $V_1$ $V_2$ 523 τῆς ε′ $V_1$ $V_2$ L 523 - 524 τὴν μετ' αὐτὴν $V_2$ L $Lag^r$ 526 τινὲς γὰρ ἐντυγχάνοντες $V_1$ $V_2$ τινὲς om. J L $Lag^r$ ἢ ὀκταπλοῖς om. $V_1$ $V_2$ 527 ἡ τοῦ Ἀκύλα $V_1$ $V_2$ τοῦ Συμμάχου $V_1$ $V_2$ οβ′ $V_1$ $V_2$ J $Lag^r$ 528 Θεοδοτίονος Lag. 529 post σελίδων add. καὶ $V_1$ $V_2$ 529 - 530 καὶ πέμπτη J L $Lag^r$ 531 φημὶ δὴ... ἑβραϊκοῖς om. J L $Lag^r$ Lag. (Ὁ De Lagarde παραθέτει τὸ κείμενον μεταφρασθὲν εἰς τὴν γερμανικὴν ἐκ τῆς συριακῆς μεταφράσεως). 532 μὲν om. $V_2$ 534 δύο πρώτας ἑβραϊκὰς ὁμοῦ συγκειμένας σελίδας $V_1$ $V_2$ ἑβραϊκῶς $Lag^s$ πρώτοις κειμένας Op. ἐν πρώτοις κειμένας Pet. ὁμοῦ κειμένας $Lag^s$ 535 πρώτην om. J L $Lag^r$ 535 - 536 πρώτην τεταγμένην τοῦ Ἀκύλα μετὰ ταύτην δὲ τὴν τοῦ Συμμάχου, ἔπειτα τὴν τῶν οβ′, μεθ' ἣν καὶ ἡ τοῦ Θεοδοτίωνος $V_1$ $V_2$ 536 Θεοδοτίονος Lag.

Εἰς τὸ «συνέθηκεν» (στ. 517) σταματᾷ ὁ κῶδιξ VS διὰ νὰ συνεχίσῃ διαλαμβάνων «περὶ τῶν ἐν ταῖς θείαις σταθμῶν...» (στ. 645). Ἐκ τοῦ f. 123v συνεχίζει τὴν παράθεσιν ἐν f. 147.

ἡ πέμπτη τε καὶ ἕκτη, δοκοῦσι πρώτους ἑρμηνεῦσαι τὸν Ἀκύλαν καὶ τὸν Σύμμαχον τῶν ἑβδομήκοντα δύο κατὰ τὴν τάξιν τῆς θέσεως, ὅπερ οὐκ ἔστιν. Ἀλλ᾿ Ὠριγένης πυθόμενος τὴν τῶν ἑβδομήκοντα δύο ἔκδοσιν ἀκριβῆ εἶναι, μέσην ταύτην συνέθηκεν, ὅπως τὰς ἐντεῦθεν καὶ ἐντεῦθεν ἑρμηνείας διελέγχῃ. Τοῦτο δὲ μόνον Ὠριγένης χρησίμως ἐποίησεν. Ἵνα δὲ καὶ τῶν Ρωμαίων βασιλέων τὴν ἀκολουθίαν, ἣν ἠρξάμεθα ποιεῖν, μὴ παραλείψωμεν, αὖθις τὰς τῶν ἄλλων βασιλέων διαδοχάς, καθὼς ἕκαστος ἐβασίλευσεν, ὑποτάξωμεν.

20. Μετὰ Γαλίηνον καὶ Οὐολουσιανὸν τοὺς προγεγραμμένους βασιλεύσαντας ἐπὶ ἔτεσι δύο καὶ μησὶ τέσσαρσιν ἐβασίλευσεν Οὐαλεριανὸς καὶ Γαλίηνος ἐπὶ ἔτεσι ιβ΄. Ἐν τῷ ἐνάτῳ ἔτει τῆς τούτων βασιλείας ἀνέβη Μάνης ἀπὸ τῆς Περσίδος, ὅτε καὶ πρὸς Ἀρχέλαον τὸν ἐπίσκοπον Κασχάρων τῆς Μεσοποταμίας συζητήσας καὶ τὸ ἧττον ἀπενεγκάμενος λεληθότως ἀπέδρα καὶ ἐλθὼν εἰς Διοδωρίδα κώμην τῆς Κασχάρων περιοικίδος καὶ συζητήσας Τρύφωνι τῷ ἁγίῳ πρεσβυτέρῳ, τελείως ὑπ᾿ αὐτοῦ κατησχύνθη. Ἀκούσαντος γὰρ τοῦ ἁγίου Ἀρχελάου ὡς ἐκεῖνος ἔφθασε πρὸς Τρύφωνα καὶ διάλεξιν πρὸς αὐτὸν ποιεῖται καὶ ἐπικαταλαβόντος καὶ συνάψαντος πρὸς αὐτὸν τὸν Μάνην τὴν ζήτησιν καὶ τέλεον αὐτὸν ἡττήσαντος κατησχύνθη. Δι᾿ ὃ ἔμελλεν ὁ Μάνης λίθοις ὑπὸ τῶν λαῶν θανατοῦσθαι· λυτρωθεὶς δὲ ὑπὸ τοῦ ἐπισκόπου Ἀρχελάου καὶ ἀνακάμψας εἰς τὴν Περσίδα, ἀκούσαντος τοῦ βασιλέως τῶν Περσῶν τὴν αὐτοῦ παρουσίαν καὶ μεταστειλαμένου αὐτὸν ἐκελεύσθη καλάμῳ ἐκδαρῆναι καὶ οὕτω τὸ τέλος τοῦ βίου κατέστρεψε. Μετὰ Οὐαλεριανὸν δὲ καὶ Γαλίηνον βασιλεύει Κλαύδιος

537 post δοκοῦσι add. μὲν $Lag^s$ 537 - 538 ἕκτη, νομίζουσι μὴ Ἀκύλας καὶ Σύμμαχος πρῶτοι ἡρμήνευσαν $V_1$ $V_2$ 538 τῶν... θέσεως om. $Lag^s$ οὐκ ἔστι δὲ οὕτως $V_1$ $V_2$ $Lag^s$ 539 οβ΄ $V_1$ $V_2$ 540 - 541 διελέγχοι $V_1V_2$ διελέγχει J $Lag^r$ 544 ὑποτάξομαι $V_1$ $V_2$ 545 Γαλιῖνον $V_1$ Γαλῖνον $V_2$ Γαλήινον J L $Lag^r$ Ὀλουσιανὸν (;) $V_1$ Οὐαλουσιανὸν J $Lag^r$ 546 ἔτεσι τρισὶ καὶ L 547 Γαλιῖνος $V_1$ Γαλῖνος $V_2$ Γαλήινος J L $Lag^r$ δώδεκα $V_1$ $V_2$ ἐννάτω $V_2$ J $Lag^r$- post ἐνάτῳ add. οὖν J L $Lag^r$ 548 post Μάνης add. καὶ L 548 - 549 τὸν ἐπίσκοπον Καχάρων τῆς ἐπισκοπῆς (τὸν ἐπίσκοπον $V_2$) Μεσοποταμίας $V_1$ $V_2$ 549 λεληθότος J $Lag^r$ 550 ὢν εἰς om. $V_1$ $V_2$ (ἐσβεσμένον) διὰ δωρίδα $V_2$ Δεοδωρίδα Pet. Κασχάδων $V_1$ $Lag^r$ 552 - 555 Ἀκούσαντος... κατησχύνθη om. J L $Lag^r$ Lag. (Ὁ De Lagarde παραθέτει ἐν ὑποσημειώσει μεταφρασθὲν τὸ κείμενον εἰς τὴν γερμανικὴν ἐκ τῆς συριακῆς μεταφράσεως. Τὸ μέχρι τοῦδε ἀνέκδοτον ἑλληνικὸν κείμενον σῴζεται ἐν τοῖς κώδιξι τοῦ Βατικανοῦ). 555 διὸ καὶ ἔμελλε J L $Lag^r$ Lag. ὁ Μάνης om. J L $Lag^r$ Lag. 555 - 556 λυ θεὶς Op. 558 Περσίδα κελεύσει τοῦ (κ. τῶν L) Περσῶν βασιλέως καλάμῳ ἐξεδάρη καὶ J L $Lag^r$ Lag. 559 post κατέστρεψε $Lag^s$ add. «Εἶχε γὰρ φονεύσει καὶ οὐκ ἠδύνατο κατὰ τὰ ὑπεσχημένα τὸν ὑπὸ τοῦ δαίμονος κατεχόμενον υἱὸν τοῦ βασιλέως θεραπεῦσαι, ὡς λόγος (ἐστί). (Τὸ κείμενον παρατίθεται ὑπὸ τοῦ De Legarde ἐν γερμανικῇ μεταφράσει ἐκ τοῦ Συριακοῦ). δὲ Οὐαλέριον $V_1V_2$ δὲ om. J $Lag^r$ Γαλιῖνον $V_1$ Γαλῖνον $V_2$ Γαλήινον $Lag^r$

ἐνιαυτὸν ἕνα καὶ μῆνας θ΄. Τοῦτον διαδέχεται Αὐρηλιανός, καὶ βασιλεύει ἔτη πέντε καὶ μῆνας ἕξ. Μετὰ τοῦτον ἐβασίλευσε Τάκιτος μῆνας ἕξ. Μετὰ τοῦτον ἐβασίλευσε Πρόβος ἔτη ἓξ καὶ μῆνας δ΄. Μετὰ τοῦτον ἐβασίλευσε Κᾶρος ἅμα τοῖς παισὶ Καρίνῳ καὶ Νουμεριανῷ ἔτη δύο. Μετὰ τοῦτον Διοκλητιανὸς ἅμα Μαξιμιανῷ καὶ Κωνσταντίῳ ἔτη κ΄, Μαξιμῖνον κοινωνὸν τῆς βασιλείας ἀποδείξας, ἐφ' ὧν ὁ κρατικὸς διωγμὸς γεγένηται, διαρκέσας ἀπὸ ζ΄ ἔτους Διοκλητιανοῦ ἕως ιθ΄ ἔτους αὐτοῦ ἐπὶ ὅλοις δώδεκα ἔτεσι συνάψας. Παυσαμένου δὲ τοῦ διωγμοῦ βασιλεύει Διοκλητιανὸς ἄλλον ἕνα ἐνιαυτὸν καὶ παύεται τῆς βασιλείας οὐαιτρανίσας. Μαξιμιανὸς δὲ κακῷ μόρῳ ὀφθαλμίᾳ τε καὶ πάθει σωματικῷ περιπεσὼν ἐξεβολβήθη τοὺς ὀφθαλμοὺς αὐτομάτῳ νόσῳ, καθ' ὃν τρόπον διέθετο τοὺς τοῦ Χριστοῦ μάρτυρας καὶ οὕτω τὸν βίον κατέστρεψε, καταλείψας Λικίνιον καὶ Κωνστάντιον βασιλεύοντας. Ἀπὸ δὲ Διοκλητιανοῦ καὶ δεῦρο τὰ ἔτη Μαξιμιανοῦ καὶ Λικινίου καὶ Κωνσταντίου τοῦ μακαρίτου βασιλεύσαντος μετὰ τῶν ἰδίων παίδων ἐπὶ λ΄ καὶ δυσὶ ἔτεσι καὶ καταλείψαντος τοὺς τρεῖς παῖδας βασιλεύοντας Κώνσταντα καὶ Κωνσταντῖνον καὶ Κωνστάντιον. Μετὰ δὲ τὰ λβ΄ Κωνσταντίνου τὰ ἔτη τῶν αὐτὸν διαδεξαμένων παίδων Κώνσταντος καὶ Κωνσταντίνου καὶ Κωνσταντίου καὶ Ἰουλιανοῦ καὶ Ἰουϊανοῦ καὶ Οὐαλεντινιανοῦ τοῦ μεγάλου καὶ Οὐάλεντος ἀδελφοῦ αὐτοῦ καὶ Γρατιανοῦ υἱοῦ Οὐαλεντινιανοῦ καὶ Οὐαλεντινιανοῦ νεωτέρου υἱοῦ Οὐαλεντινιανοῦ

560 ἐννέα $V_1$ $V_2$ L  post τοῦτον add. δὲ Lag[r]  561 ἔτη ε΄ J L Lag[r] Lag.  Τάκητος J Lag[r] Lag.  Τάκοντος L  μῆνας ς΄ L  561 - 562 Καὶ μετὰ τοῦτον Πρόβος ἔτη ἓξ μῆνας τέσσαρες (ρεις $V_2$) $V_1$ $V_2$  562 ἐβασίλευσε (ante Κᾶρος) om. $V_1$ $V_2$ (ἐσβεσμένον)  563 post τοῦτον add. βασιλεύει Lag[s]  post τοῦτον add. ἐβασίλευσε L  Μαξιμίνῳ καὶ Κῷ καὶ Μαξιμιανῷ ἔτη (τὸ «ἔτη» εἰς $V_1$ ἐσβεσμένον) εἴκοσι $V_1$ $V_2$  Κωνσταντίῳ καὶ Μαξεντίῳ ἔτη Lag[s]  564 ἔτη ιγ΄ J Lag[r]  564 - 565 Μαξιμῖνον... ἀποδείξας om. J L Lag[r] Lag. (Τὸ συριακὸν κείμενον ἔχει «Μαξέντιον». Ἰδὲ J. Dean...ἔνθ'ἀν. σ. 38).  565 ἐν αἷς ἡμέραις ὁ κραταιὸς Lag[s]  565 - 566 διαρκέσας ὅλοις δώδεκα (ιβ΄ L) ἔτεσι J L VS  διαρκ. δώδεκα ὅλοις ἔτεσι Lag[r]  566 ἀπὸ τοῦ ὀγδόου Lag[s]  567 - 568 ἐνιαυτὸν ἕνα $V_1 V_2$  568 οὐετρανίσας Dind. Lag.  Καὶ Μαξιμῖνος $V_2$  καὶ κακῷ Lag[s]  569 ὀφθαλμῶν $V_1$ (;) $V_2$  ὀφθαλμιᾷ J  ἐξεβολβίσθη $V_1 V_2$  570 τοῦ Χριστοῦ om. $V_1$ $V_2$ J L Lag[r]  571 καὶ Κωνστάντιον om. $V_1$ $V_2$  572 βασιλεύοντα $V_1$ $V_2$  572 - 584 βασιλεύοντας. Τούτους τελευτήσαντας διαδέχεται Κωνσταντῖνος ὁ μακαρίτης βασιλεύσας (ὃς ἐβασίλευσε μετὰ τῶν υἱῶν αὐτοῦ Lag.) ἔτη λβ΄. Ὃς τελευτήσας τοὺς ἰδίους παῖδας κατέλιπε βασιλεύειν, Κώνσταντα (τα om. Lag[r]) καὶ Κωνστάντιον καὶ Κωνσταντῖνον. Μεθ' οὓς Ἰουλιανός, Ἰουβιανός τε καὶ Οὐαλεντιανὸς ὁ μέγας, καὶ Οὐάλης ὁ (ὁ om. L) ἀδελφὸς αὐτοῦ καὶ Γρατιανὸς (ὁ add. L) υἱὸς Οὐαλεντινιανοῦ, καὶ Οὐαλεντινιανὸς (Οὐαλεντιανὸς Pet.) νεώτερος, υἱὸς Οὐαλεντινιανοῦ τοῦ (τοῦ om. J Lag[r]) ἀδελφοῦ Γρατιανοῦ, καὶ Θεοδόσιος ὁ θεοφιλέστατος βασιλεύς, καὶ Ἀρκάδιος ὁ υἱὸς αὐτοῦ καὶ Ὁνώριος ἐπιφανέστατος ὁ (ὁ om. Lag[r]) ἀδελφὸς αὐτοῦ. Ὧν τὰ ἔτη μέχρι τῆς Ἀρκαδίου ὑπατείας τὸ δεύτερον καὶ Ρουφίνου ἀριθμοῦνται νζ΄. Ἐφ' ὧν ἐτελεύτησεν J L Lag[r] Lag.  576 αὐτῶν $V_1$ $V_2$

ἀδελφοῦ Γρατιανοῦ καὶ Θεοδοσίου τοῦ θεοφιλεστάτου βασιλέως καὶ Ἀρκαδίου τοῦ υἱοῦ αὐτοῦ καὶ Ὀνωρίου ἐπιφανεστάτου υἱοῦ Θεοδοσίου, ἕως τῆς νῦν ὑπατ<είας> Ἀρκαδίου Αὐγούστου τὸ δεύτερον καὶ Ρουφίνου τὰ ἔτη, ὡς προεῖπον, ὑπάρχει μζ′. Ἐν δὲ τῇ Ἀρκαδίου Αὐγούστου καὶ Ρουφίνου ὑπάτου ἐτελεύτησεν Οὐαλεντινιανὸς ὁ νεώτερος, υἱὸς Οὐαλεντινιανοῦ τοῦ μεγάλου, εὑρεθεὶς ἄφνω ἐν τῷ παλατίῳ Τιβέρεως ὡς λόγος πεπνιγμένος ἐν εἰδοῖς Μαΐαις, πρὸ μιᾶς ἡμέρας τῆς Πεντηκοστῆς, ἐν ἡμέρᾳ Σαββάτου. Αὐτῇ δὲ τῇ ἡμέρᾳ τῆς Πεντηκοστῆς ἐξεκομίσθη. Ἦν δὲ κατ' Αἰγυπτίους τότε μηνὸς Παχὼν μία καὶ εἰκάς, κατὰ δὲ Ἕλληνας Ἀρτεμισίου τρίτη καὶ εἰκάς, κατὰ Ρωμαίους δὲ πρὸ δέκα ἑπτὰ καλανδῶν Ἰουνίων.

21. Ἕως ἐνταῦθα, φιλοκαλώτατε, ἀρκεσθέντες τοῖς προειρημένοις ἅπασι τὴν τῶν ἑρμηνευτῶν ὑπόθεσιν ἐδηλώσαμεν. Εἶθ' ἑξῆς εἰς τὰ ἐπίλοιπα ὧν προειρήκαμεν ζητημάτων κατὰ τὰς ὑποσχέσεις, σαῖς εὐχαῖς, ἄνθρωπε τοῦ Θεοῦ, τὸν νοῦν ἐπιδῶμεν περὶ τῶν ἐν ταῖς θείαις γραφαῖς σταθμῶν τε καὶ μέτρων καὶ ἀριθμῶν δηλώσοντες, πόθεν ἕκαστον ὠνόμασται καὶ τίνος ἕνεκα οὕτω κέκληται καὶ πόθεν τὴν πρόφασιν τῆς ὀνομασίας εἴληφε καὶ τίς ἑκάστου τούτων ἡ ποιότης καὶ ἡ ὁλκὴ καὶ ἡ δύναμις. Μέτρον ἐστὶ κόρος. Κεῖται δὲ ἐν τῷ κατὰ Λουκᾶν Εὐαγγελίῳ, ὅθεν ὁ Σωτὴρ ἐπαινεῖ τὸν φρόνιμον οἰκονόμον τὸν τοῖς χρεωφειλέταις ἀντὶ κόρων τοσούτων ἐν τοῖς σφῶν αὐτῶν χειρογράφοις τοσούτους μεταγραψάμενον, ἀντὶ δὲ τοσούτων βάδων ἐλαίου τοσούτους ποιήσαντα[1]. Ὀνόματα γάρ εἰσι μέτρων τάδε,

1. Πρβλ. Λουκ. 16,6-7.

584 post ἐτελεύτησεν add. ὁ Pet. Dind. Lag. ὁ Ἀλεντινιανὸς J 585 - 586 παλατίῳ πεπνιγμένος, ὡς λόγος, ἐν εἰδοῖς J L VS $Lag^r$ Lag. Τιβερίου $Lag^s$ 586 τῆς ν′ $V_1$ L 687 τῆς ν′ $V_1$ 588 Παχὼμ $V_1$ $V_2$ εἰκάδ(ι); $V_1$ $V_2$ Ἀρτεμησίου J $Lag^r$ Ἀρτεμιοίου Pet. 589 κατὰ δὲ Ρωμαίους πρὸ ιζ′ Καλανδῶν Ἰουλίων $V_1$ $V_2$ ιζ′ L καλάνδων J 590 Καὶ ἕως $Lag^s$ 591 ἐδηλώσαμεν καὶ τῆς περὶ τὴν (τῆς πρώτης $V_1$) τῶν ἑρμηνευτῶν ὑπόθεσιν (ὑποθέσεως ; $V_1$) εἰρημένων λόγων, εἶθ' ἑξῆς $V_1$ $V_2$ 591 - 592 ἐπίλοιπα καθὼς ὑπεσχόμεθα (ὑπευχόμεθα J $Lag^r$) σαῖς J L $Lag^r$ Lag. 594 ἀριθμῷ $Lag^r$ δηλώσαντες VS δηλώσοντες om. $V_1$ $V_2$ ὠνόμασται τίνος δὲ $V_1$ $V_2$ 595 πόθεν τε τὴν πρ. $V_1$ $V_2$ 596 ἢ ποιότης ἢ ὁλκὴ ἢ δύναμις $V_1$ $V_2$ ἢ ἡ ποιότης ἢ ἡ ὁλκὴ ἢ ἡ δύναμις $Lag^s$ Περὶ μέτρων. Μέτρον $V_1$ M om. $V_2$ J (Ὁ $V_2$ μετὰ τὸ «δύναμις» θέτει : —, ἐν συνεχείᾳ ἀφήνει μίαν σειρὰν κενὴν καὶ συνεχίζει «έτρον». Προφανῶς θὰ ἐτίθετο ἐκ τῶν ὑστέρων ὑπὸ τοῦ κοσμητοῦ τοῦ κώδικος). ἕτερον super μέτρον $Lag^r$ post μέτρον add. οὖν J L VS $Lag^r$ 597 δὲ om. $Lag^s$ 598 τὸ φρόνημα $V_2$ φρόνημον $Lag^r$ οἰκονόμον τοῖς Pet. Dind. 599 τοσοῦτον μεταγραψάμ (μ $Lag^r$) ενον VS $Lag^r$ τοσούτοις μεταγραψάμενον $V_1$ $V_2$ L τοσούτων μεταγραψάμενον Op. Pet. 600 βάτων L τοσαῦτα ποιήσαντα Lag. τοσοῦτα

Ἐν τῷ στ. 593 post ἐπιδῶμεν ἐν J καὶ $Lag^r$ ὑπάρχει τελεία . Ἐν $Lag^r$ γίνεται ἐν συνεχείᾳ ἀλλαγὴ παραγράφου. «Περὶ τῶν. . .» (ἄρχεται πάλιν ἡ παράθεσις τοῦ κειμένου εἰς τὸν κώδικα VS. Τὸ τμῆμα «ἐξαπλᾶ τὰς βίβλους» (στ. 517) μέχρι «ἐπιδῶμεν» (στ. 593) παραλείπεται).

λεθέκ, γομόρ, βάδος, σάτον, μόδιος, κάβος, χοῖνιξ, οἰφεὶ σεμιδάλεως, δρὰξ ἀλεύρου, ἀρτάβη, τρία μέτρα σεμιδάλεως, τρία κανᾶ χονδριτῶν, νέβελ οἴνου, κόλλαθον, ἀλάβαστρον μύρου, καμψάκης ὕδατος, κοτύλη ἐλαίου, κύαθος, μετρητὴς οἴνου, μετρητὴς ἐλαίου, τρυβλίον, ξέστης, ἀμφορεύς, ἀπόρρυμα, σαφιθά, ἵν, χοῦς, στάμνος χρυσῆ, ἐν ᾗ ἀπέκειτο τὸ μάννα, μάρης, κύπρος, κογγιάριον. † Ὁ κόρος εἴληπται ἀπὸ τῆς ἑβραϊκῆς διαλέκτου, ὅς καλεῖται χόρ. Εἰσὶ δὲ μόδιοι λ'. Χὸρ δὲ λέγεται ἀπὸ τῆς τοῦ βουνοῦ ὑποθέσεως· χαρία γὰρ καλεῖται βουνός. Βουνισθέντες γὰρ οἱ τριάκοντα μόδιοι ποιοῦσι φορτίον καμήλου. Λεθὲκ δέ, ὡς ἐν τῷ Ὠσηὲ τῷ προφήτῃ εἴρηται, ὅτι ἐμισθωσάμην ἐμαυτῷ λεθὲκ κριθῶν ἐν ἀντιγράφοις δὲ «γομὸρ κριθῶν»[1], τὸ αὐτὸ μέν ἐστι, δέκα γὰρ καὶ πέντε μόδιοι σημαίνονται οὗτοι. Λεθὲκ δὲ κατὰ τὴν τῶν Ἑβραίων φωνὴν κέκληται, ὅ ἐστιν ἔπαρμα, ἀπὸ τοῦ δύνασθαι τὸν νεανίαν ἐπάραντα τοὺς δέκα πέντε μοδίους καὶ ἐπιτεθῆναι τῷ ὄνῳ. Τὸ δ' αὐτὸ τῶν ιε' μοδίων καὶ γομὸρ καλεῖται τὸ μέγα, ὃ ἐκ τῆς ἑβραΐδος γομὸρ λέγεται. Ἔστι γὰρ καὶ μικρὸν γομόρ. Δύο δέ εἰσι γομόρ, μέγα καὶ μικρόν· ὧν τὸ μέγα ἰσόμετρόν ἐστι τῷ λεθὲκ δεκαπέντε καὶ αὐτὸ ὂν μοδίων, τὸ δὲ μικρόν, ιβ' βάδων. Καὶ αὐτὸ ἀπὸ τῆς ἑβραϊκῆς διαλέκτου παρῆκται, συνωνύμως τῷ ἐλαιοτριβείῳ καλούμενον βίθ. Βάδον γὰρ ἑρμηνεύεται ἐλαιοτρι-

1. Ὠσ. 3,2.

ποιήσαντα J L VS $Lag^r$ τοσούτους ποιήσαντας $V_2$ ὀνόματα... τάδε om. $V_1$ $V_2$ $Lag^s$ 601 θεκέλ $V_1$ $V_2$ λεθεκ, σάτον $Lag^s{}_1$ γόμορ J VS βάτος L κὰβ $V_1$ $V_2$ κάμος Op. κόμος Pet. φοῖνιξ $V_1$ $V_2$ J L VS $Lag^r$ ὑφὴ J VS $Lag^r$ ὑφὶ L ὕφη σεμιδάλ(εως) $V_1$ $V_2$ 602 ἀλέβρου $Lag^r$ ἀρτάμη $Lag^r$ οἴνου om. $V_2$ (ἐσβεσμένον) 603 κέλαθον $V_2$ 604 φορεὺς $V_1$ $V_2$ J L VS ἀλλόρρυμα J ἀλλόρυμα $Lag^r$ ἀλλόρυμμα Op. 605 σαβιθὰ J VS $Lag^r$ εἶν Lag. μάνις $V_1$ $V_2$ 606 κολλιάριον VS κουκιάριον $Lag^r$ ὁ κόρος εἴρηται $V_2$ εἴληπται τοίνυν ὁ κόρος ἐκ τῆς J L VS $Lag^r$ Lag. 606 - 607 κέκληται χὸρ $L_1$ 607 χὰρ $Lag^r$ τριάκοντα Lag. χὼρ $V_1$ $V_2$ τῆς om. J VS $Lag^r$ 607 - 608 χωρὴβ γὰρ $V_1V_2$ 608 βουνισθέντες δὲ καὶ οἱ λ' L δὲ καὶ οἱ τριάκοντα J VS $Lag^r$ οἱ om. $Lag^s$ 608 -609 βουνισθέντες γὰρ οἱ λ' μόδιοι (μόδεις $V_2$) φορτίον ποιοῦσι καμήλου $V_1$ $V_2$ 609, 610, 611 θεκέλ $V_1$ $V_2$ 610 post δὲ add. ἑτέροις Lag. γόμορ J κριτῶν Op. 611 μὲν om. J L VS $Lag^r$ Lag. εἰσὶ J VS δὲ om. $V_1V_2$ 612 φωνὴν καλεῖται $L_1$ τὸν om. $V_1$ $V_2$ 612 - 613 τῷ νεανίᾳ ἐπαρθῆναι J L VS $Lag^r$ Lag. τὸ τοῦ (τῶν $V_2$) ιε' μηδὲν (;) τῶν $V_1$ $V_2$ 613 post μοδίους add. κριθῶν ἢ σίτου (ἀπὸ τῶν $V_2$) $V_1$ $V_2$ $Lag^s$ καὶ ἐπιτεθῆναι τῷ ὄνῳ om. $V_1$ $V_2$ (ἐσβεσμένον) ἐπιτεθεῖναι VS $Lag^r$ 613 - 615 τὸ δὲ (δ' VS) αὐτὸ καὶ τὸ (τὸ om. L) γόμορ καλεῖται. Δύο δέ εἰσι γόμορ μέγα καὶ μικρὸν J L VS $Lag^r$ Lag. 614 τὸ ὑπὸ ἑβραίων γομὸρ λεγόμενον Lag. 615 ἔστι δὲ $V_1$ $V_2$ 615 - 617 Δύο δὲ... βάδων om. $V_1$ $V_2$ 616 ἰσότερον $Lag^r$ τὸ λεθὲκ $Lag^r$ δώδεκα L 616 - 617 δώδεκα βάθου Op. 617 βάθων Pet. post βάδων add. βάδον καλεῖται $V_1$ $Lag^s$ (ἐν $V_1$ τὸ «βάδον» εἶναι ἐσβεσμένον) post βάδων add. καλεῖται $V_2$ βάδου. Καὶ τοῦτο J VS $Lag^r$ βάτων(;). Καὶ τοῦτο ἀπὸ L παρηγμένον $V_1$ $V_2$ $Lag^s$ 618 post ἐλαιοτριβείῳ add. ἔστι δὲ ξεστῶν πεντήκοντα $V_1$ $V_2$ βίθυ $Lag^r$ βάδον γὰρ om. $V_1V_2$ (ἐσβεσμένον) βάδου γὰρ J VS $Lag^r$ βάτον L βάθου γὰρ Pet.

βεῖον. Ἔστι δὲ ξεστῶν πεντήκοντα. Τὸ δὲ μέτρον ἐστὶ τῆς τοῦ ἐλαιοτρίπτου ἐργασίας. Μνασὶς ἢ μέδιμνος οἶμαι ἐκ τῆς ρωμαϊκῆς γλώσσης παρήχθησαν· τὸ γὰρ μεδιοὺμ μέσον ἑρμηνεύεται ἐν ταύτῃ τῇ γλώσσῃ. Μνασὶς τοίνυν παρὰ Κυπρίοις μετρεῖται καὶ παρ' ἄλλοις ἔθνεσιν. Εἰσὶ δὲ εἴκοσι μόδιοι σίτου ἢ κριθῶν εἰς τὸν τῶν δέκα καὶ ἑπτὰ ξεστῶν παρὰ Κυπρίοις μόδιον. Μέδιμνος δὲ παρ' αὐτοῖς τοῖς Κυπρίοις διάφορος· τὸν γὰρ μέδιμνον Σαλαμίνιοι, εἴτ' οὖν Κωνστάντιοι, ἐκ πέντε μοδίων ἔχουσι· Πάφιοι δὲ καὶ Σικελοὶ τεσσάρων ἥμισυ μοδίων αὐτὸν μετροῦσι. Σάτος καλεῖται ἐξ αὐτῆς τῆς ἑβραΐδος διαληφθέν, θηλυκῶς δὲ ἐκφωνούμενον, ἐν δὲ τῇ ἑλληνίδι οὐδετέρως. Σάτον γὰρ λέγομεν καὶ οὐχὶ σάτος. Ἔστι δὲ μόδιος ὑπέργομος, ὥστε πληροῦσθαι μὲν τὸν μόδιον, διὰ δὲ τοῦ ὑπεργίνεσθαι τὸ τέταρτον τοῦ μοδίου. Κέκληται δὲ σάα κατὰ τὴν αὐτὴν διάλεκτον ἐκφωνούμενον λῆψις ἢ ἄρσις, ἀπὸ τοῦ τὸν μετροῦντα ἕξει τινὶ τὸ μέτρον λαμβάνειν τε καὶ κουφίζειν. Τοῦ δὲ μοδίου τὸ ὄνομα διὰ πολλῆς ἀκριβείας ὑπὸ τῶν Ἑβραίων εὑρέθη εἴκοσι δύο ξεστῶν ὑπάρχον, οὐχ ἁπλῶς δέ, οὐδ' ὡς ἔτυχεν, ἀλλὰ διὰ πολλὴν ἀκρίβειαν. Φημὶ δὲ ὁ δίκαιος[1] μόδιος, καθὼς εἴωθεν ὁ νόμος λέγειν, κατὰ τὸ μέτρον τὸ ἅγιον[2]. Εἴκοσι δύο γὰρ ἔργα, ὦ φιλοκαλώτατε, ἀπ' ἀρχῆς ἄχρι τῆς ἑβδόμης ἡμέρας, ἅτινά ἐστι τάδε.

1. Πρβλ. Δευτ. 25, 15. 2. Πρβλ. Ἐξ. 30, 25, 31.

619 ἔστι δὲ ξεστῶν πεντήκοντα om. $V_1$ $V_2$ ξέστων J ξ. μʹ L τὸ δὲ αὐτὸ ἐστὶ L 620 τρίπτου ἐρ om. Op. καὶ μέδιμνος J $Lag^s$ Lag. οἷα μέδιμνος $V_1V_2$ 620 - 621 Ρωμαίων γλώσσης παρήχθη $V_1V_2$ «παρέθησαν» ἢ «παρήθησαν» $Lag^r$ 621 μεδιοὺμ $V_1$ $V_2$ μεδι οὗ VS ἐν αὐτῇ τῇ γλώττῃ $V_1$ $V_2$ ἐν αὐτῇ τῇ γλώσσῃ J L VS $Lag^r$ 622 μνάσις $V_1V_2$ μανασὴς J VS $Lag^r$ μετρητὴς $V_1$ $V_2$ 623 κʹ μόδιοι $V_1$ καὶ μόδιοι $V_2$ J L VS $Lag^r$ εἰς τὴν τῶν δώδεκα (δέκα VS) καὶ ἑπτὰ (ζʹ L) ξέστων $V_2$ J VS $Lag^r$ 624 αὐτοῖς om. $V_2$ 626 δὲ οἱ Σικελοὶ $V_2$ Σάτον $V_1V_2$ L Σάτου J VS $Lag^r$ 628 οὐθ' ἕτερος $V_1V_2$ οὔτε θηλυκῶς οὔτε ἀρσενικῶς ἀλλ' οὐδετέρως $Lag^s$ τὸ γὰρ σάτον λέγομεν καὶ οὐχὶ σάτος $V_1$ $V_2$ Σάτου VS λέγεται J VS $Lag^r$ 628 - 629 μόδιος κουμουλᾶτος $V_1$ $V_2$ 629 - 630 ὥστε εἶναι μόδιοι (μόδιον $Lag^s$) καὶ διὰ τοῦ κουμουλάτου τὸ τέταρτόν ἐστι τοῦ μοδίου τὸ ὑπέρχυμα $V_1$ $V_2$ $Lag^s$ 630 σάτα Op. Pet. Dind. σάτον καὶ διὰ τὴν L 631 ἡ ἄρσις $V_2$ ἀπὸ τοῦτον VS τούτων μετροῦνται τὰ ἓξ ἅ τινι $V_1$ $V_2$ 631 - 632 λαμβάνειν τότε L 632 εἶτα μόδιος. Τοῦ μοδίου $V_1$ $V_2$ $Lag^s$ 633 ηὑρέθη Lag. δύο om. L ξέστων $V_1$ $V_2$ J ὑπάρχει $V_1$ $V_2$ $Lag^s$ 634 δὲ om. $V_1$ $V_2$ ὁ γὰρ δίκαιος μόδιος (μόδις VS $Lag^r$) J L VS $Lag^r$ Lag. 635 - 636 ἅγιον ἐμετρήθη. Τὸ δὲ ἅγιον μέτρον οὐδὲν ἄλλο ἐστὶν ἢ τὰ κβʹ (εἴκοσι δύο $Lag^r$) ἔργα, ἃ ἐποίησεν ὁ Θεὸς ἐν ταῖς ἓξ ἡμέραις τῆς ἑβδομάδος. J L VS $Lag^r$ Lag. Ὅτι εἴκοσι δύο ἔργα ἐποίησεν ὁ Θεὸς ἀπ' ἀρχῆς ἄχρι τῆς ἑβδόμης ἡμέρας ἅτινά ἐστι τάδε A Ὅτι εἴκοσι δύο ἔργα ὁ Θεὸς ἐποίησεν ἀπ' ἀρχῆς ἄχρι τῆς ἑβδόμης ἡμέρας, ἅτινα ἐστὶ τάδε $V_3$ Εἴκοσι γὰρ καὶ δύο ἔργα, Sin $L_1$ Εἴκοσι δύο ἔργα ἐποίησεν ἀγαπητὲ ὁ Θεός, ἀπαρχῆς ἄχρι τῆς ἑβδόμης ἡμέρας $E_1$ 636 ἅτινα ἐστὶ τάδε om. J L VS $E_1$ $Lag^r$ Lag.

22. Τῇ πρώτῃ ἡμέρᾳ τοὺς οὐρανοὺς τοὺς ἀνωτέρους, τὴν γῆν, τὰ ὕδατα[1] ἐξ ὧν ἐστι χιὼν καὶ κρύσταλλος καὶ χάλαζα καὶ παγετοὶ καὶ δρόσος, τὰ πνεύματα τὰ λειτουργοῦντα ἐνώπιον αὐτοῦ ἅτινά ἐστι τάδε· ἄγγελοι πρὸ προσώπου καὶ ἄγγελοι τῆς δόξης καὶ ἄγγελοι πνευμάτων πνεόντων, ἄγγελοι νεφελῶν καὶ γνόφων καὶ χιόνος καὶ χαλάζης καὶ πάγου, ἄγγελοι φωνῶν, βροντῶν καὶ ἀστραπῶν, ἄγγελοι ψύχους καὶ καύματος, χειμῶνος καὶ φθινοπώρου καὶ ἔαρος καὶ θέρους καὶ πάντων τῶν πνευμάτων τῶν κτισμάτων αὐτοῦ τῶν ἐν οὐρανοῖς καὶ ἐν τῇ γῇ, τὰς ἀβύσσους, τήν τε ὑποκάτω τῆς γῆς καὶ τοῦ χάους, τὸ σκότος τὸ ἐπάνω τῆς ἀβύσσου τῶν ὑδάτων τῶν ποτε ἐπάνω τῆς γῆς, ἐξ οὗ περ σκότος, ἑσπέρα καὶ νύξ, τὸ φῶς ἡμέρας τε καὶ ὄρθρου. Ταῦτα τὰ ἑπτὰ μέγιστα ἔργα ἐποίησεν ὁ Θεὸς ἐν τῇ πρώτῃ ἡμέρᾳ. Ἐν τῇ

1. Πρβλ. Γεν. 1, 1 - 2

637 τῇ α΄ τοὺς $V_3$ τῇ μὲν γὰρ πρώτῃ J L VS $Lag^r$ Lag. post ἡμέρᾳ add. ἐποίησεν ὁ Θεὸς M ἐποίησεν om. $V_2$ τοὺς ἀνωτέρους οὐρανοὺς J L VS $Lag^r$ Lag. τοὺς ἀνωτέρω οὐρανοὺς $Lag^r$ τοὺς οὐρανοὺς ἐποίησεν τοὺς ἀνωτέρους A τὸν οὐρανὸν τὸν ἀνώτερον Sin $L_1$ ἀνωτέρω β΄ τὴν γῆν γ΄ τὰ . . . $V_3$ 637 - 646 (ἐν $V_1$ δυσανάγνωστα) 638 ἐξ ὧν στοιχείων καὶ $V_1$ J L VS $Lag^r$ ἐξ ὧν στοιχείων κρύσταλλος $V_2$ στοιχίων κρούσταλλος καὶ χίων καὶ παγετὸς A post χιὼν om. καὶ M Sin $L_1$ $E_1$ κρύσταλος $Lag^r$ πάγος Sin $L_1$ 639 δ΄ τὰ πνεύματα $V_3$ τὰ δὲ πνεύματα λειτουργοῦντα $E_1$ ἅτινά εἰσιν ἄγγελοι M post ἄγγελοι add. οἱ $Lag^s$ (;) post τάδε om. ἄγγελοι A post ἄγγελοι om. πρὸ $V_3$ 640 post προσώπου add. αὐτοῦ M post προσώπου, om. καὶ $E_1$ πνεόντων om. $E_1$ 640 - 641 πνευμάτων πνεόντων ἄγγελοι om. Sin $L_1$ πνευμάτων παιόντες καὶ ἄγγελοι γνώφων καὶ χίωνος A 641 νεφῶν $V_3$ γνόφου M γνόφον $E_1$ γνόφων, χιόνος J L VS $Lag^r$ Lag. καὶ χιόνων Sin $L_1$ χιόνος χαλάζης $V_3$ M πάγοις $V_1$ $V_2$ πάγους A $E_1$ φωνῶν om. M 642 καὶ βροντῶν $E_1$ $Lag^s$ post βροντῶν, om. καὶ Sin $L_1$ βροντῶν, ἀστραπῶν, ψύχους, καύματος J L VS $Lag^r$ Lag. post ἀστραπῶν add. καὶ A καύματος om. A καύσους M χιμόνος M καὶ χειμῶνος $E_1$ post χειμῶνος om. καὶ J VS Sin $L_1$ $Lag^r$ Lag. 642 - 643 χειμῶνος καὶ ἔαρος, φθινοπώρου καὶ θέρους L φθινοπόροις M post φθινοπόρου, om. καὶ VS Lag. 643 καὶ ἀέρος $V_1 V_2$ A M $E_1$ ἔαρος καὶ θέρους om. Sin $L_1$ τῶν πνευμάτων om. $V_1$ $V_2$ τῶν κτισμάτων om. $V_3$ καὶ κτισμάτων M post ἐν add. τοῖς $E_1$ 643 - 645 κτισμάτων ἐν οὐρανοῖς καὶ ἐπὶ γῆς· τῆς ἀβύσσοις τῶν ὑδάτων τῶν ποταμ(ῶν) ἐπάνω A 644 ἐπὶ τῆς γῆς $V_1$ $V_2$ $V_3$ ἐπὶ γῆς A M $E_1$ Sin $L_1$ ε΄ τὰς ἀβύσσους $V_3$ τὰς ἀβύσσους. . . γῆς om. Sin $L_1$ τάτε $V_2$ 644 - 646 τάς τε ἐν ἀβύσσοις, τήν τε ὑποκάτω τῆς ἀβύσσου τῶν ὑδάτων τῶν τε ἐπάνω τῆς γῆς, ἐξ οὗ ὑπὲρ σκότος ἔστι καὶ σκότος τὸ ἑσπέρα M 645 τοῦ χάως καὶ σκότος Op. Pet. post χάους add. τὸ κάτω καὶ τὸ ἐπάνω τῆς ἀβύσσου, τήν τε ὑποκάτω τῆς γῆς καὶ τοῦ χάους $E_1$ post σκότους add. καὶ $E_1$ τὸ ἐπάνω. . . οὗ περ σκότος om. J VS $Lag^r$ Lag. 646 ζ΄ τὸ φῶς $V_3$ καὶ φῶς $V_2$ ἡμέρα A M τε om. M τὸ φῶς ἡμέρας τε καὶ ὄρθρου om. $E_1$ (ἐσβεσμένον) 647 ἑπτὰ om. $E_1$ ζ΄ ἔργα τὰ μέγιστα A ζ΄ μέγιστα $V_3$ μέγιστα σημεῖα ἔργα Sin μέγιστα — ἔργα $L_1$ ἔργα ἔργα $E_1$ α΄ ἡμέρᾳ $V_3$ post Ἐν add. δὲ J L VS $Lag^r$ Lag. 647 - 648 Τῇ δὲ (δὲ om. $E_1$) δευτέρᾳ ἡμέρᾳ M Sin $L_1$ $E_1$ Τῇ β΄ ἡμέρᾳ $V_1$ $V_2$ A τῇ δὲ β΄ ἡμέρᾳ α΄ $V_3$

δευτέρᾳ τὸ στερέωμα τὸ ἐν μέσῳ τῶν ὑδάτων. Ἐν αὐτῇ τῇ ἡμέρᾳ ἐμερίσθη τὰ ὕδατα· τὸ ἥμισυ αὐτῶν ἀνέβη ἐπάνω τοῦ στερεώματος καὶ τὸ ἥμισυ αὐτῶν ἔμεινεν ὑποκάτω τοῦ στερεώματος ἐν μέσῳ ἐπὶ πρόσωπον πάσης τῆς γῆς[1]. Τοῦτο μόνον ἐποίησεν ὁ Θεὸς ἐν τῇ δευτέρᾳ ἡμέρᾳ. Τῇ τρίτῃ ἡμέρᾳ τὰς θαλάσσας[2], τοὺς ποταμούς, τὰς πηγὰς καὶ τὰς λίμνας, τὰ σπέρματα τοῦ σπόρου καὶ τὰ βλαστήματα, τὰ ξύλα κάρπιμά[3] τε καὶ ἄκαρπα καὶ τοὺς δρυμούς. Ταῦτα τὰ τέσσαρα ἔργα τὰ μέγιστα ἐποίησεν ὁ Θεὸς ἐν τῇ τρίτῃ ἡμέρᾳ. Τῇ τετάρτῃ ἡμέρᾳ τὸν ἥλιον, τὴν σελήνην, τοὺς ἀστέρας[4]. Ταῦτα τὰ τρία ἔργα τὰ μεγάλα ἐποίησεν ὁ Θεὸς ἐν τῇ τετάρτῃ ἡμέρᾳ. Τῇ πέμπτῃ ἡμέρᾳ τὰ κήτη τὰ μεγάλα, τοὺς ἰχθύας καὶ τὰ ἄλλα ἑρπετὰ τὰ ἐν τοῖς ὕδασι, τὰ πετεινὰ τὰ πτερωτά[5]. Ταῦτα τὰ τρία ἔργα τὰ μεγάλα ἐποίησεν ὁ Θεὸς ἐν τῇ πέμπτῃ ἡμέρᾳ. Τῇ ἕκτῃ ἡμέρᾳ τὰ θηρία, τὰ κτήνη, τὰ ἑρπετὰ τῆς γῆς,

1. Πρβλ. Γεν. 1,6 - 7. 2. Πρβλ. Γεν. 1,10. 3. Πρβλ. Γεν. 1,11 - 12. 4. Πρβλ. Γεν. 1,16. 5. Πρβλ. Γεν. 1,20 - 21.

648 τῷ ἐμμέσῳ A ἐμμέσῳ M ἐν ταύτῃ τῇ ἡμέρᾳ $V_1$ $V_2$ $V_3$ A 648 - 650 ὑδάτων καὶ τὴν διαμέρισιν τῶν ἐπάνω τοῦ στερεώματος ὑδάτων καὶ τῶν ὑποκάτω τοῦ στερεώματος ἐπὶ πρόσωπον πάσης τῆς γῆς J L VS $Lag^r$ 649 τὰ ἥμισοι A τὰ ἥμισυ Sin τὰ ἡμίσυ $V_2$ τὰ ἡμίση $V_1$ $L_1$ τὰ οὖν ἡμίση $E_1$ στερ. καὶ τὰ ἡμίση $V_1$ $E_1$ καὶ τὰ ἡμίση $V_3$ 649 - 650 καὶ τὸ... στερεώματος om. M 650 τὰ δὲ ἡμίση πάλιν αὐτῶν $V_3$ ἔμεινεν om. $V_3$ Sin $L_1$ ἔμειναν $V_1$$V_2$ A $E_1$ στερεώματος — ἐπὶ $L_1$ ἔμμεσα A ἐμμέσω M πάσης om. A 651 post μόνον add. τὸ ἔργον $V_3$ A M $E_1$ Lag. ἐν om. A M Sin $L_1$ ἐν τῇ β΄ $V_1$$V_2$ τῇ β΄ A τῇ γ΄ ἡμέρᾳ A τρίτῃ δὲ ἡμέρᾳ J L VS $Lag^r$ Lag. 652 καὶ πηγὰς $V_3$ A $E_1$ καὶ λίμνας $V_3$ J L VS A M $Lag^r$ Lag. π. τὰς λίμνας $V_1$ $V_2$ 652 - 653 γ΄ τὰ σπέρματα δ΄ τὰ ξύλα $V_3$ 653 σπόρου, τὰ βλαστήματα J L VS $Lag^r$ βλαστήματα ξύλα κάρπιμα A $E_1$ post ξύλα add. τὰ J L VS M $Lag^r$ Lag. τε om. A M $E_1$ τὰ ἄκαρπα, Lag. post ἄκαρπα om. καὶ J L Lag. 654 μέγιστα ἔργα $V_1$$V_2$ μέγιστα τέσσαρα ἔργα L $E_1$ τὰ τέσσαρα ἔργα om. $V_3$ τὰ μέγιστα om. $V_3$ A ἐν τῇ γ΄ A τῇ ἡμέρᾳ τῇ γ΄ $V_3$ 654 - 655 post δρυμοὺς add. καὶ πάντα τὰ φυτὰ κατὰ γένος. Ταῦτα τὰ μέγιστα ἔργα ἐποίησεν ὁ Θεὸς τῇ ἡμέρᾳ τῇ τρίτῃ M 655 τῇ δὲ τετάρτῃ τὸν J L VS $Lag^r$ Lag. δ΄ τῇ τετάρτῃ ἡμέρᾳ $E_1$ τῇ δὲ δ΄ A post τετάρτῃ om. ἡμέρᾳ $V_3$ A $L_1$ α΄ τὸν ἥλιον β΄ $V_3$ καὶ (ante τὴν) add. A καὶ (ante τοὺς) add. A $E_1$ 656 τὰ γ΄ ἔργα $V_3$ ἔργα σὺν ταῖς νεφέλαις ἐποίησεν ὁ Θεὸς τῇ τετάρτῃ ἡμέρᾳ M τὰ μεγάλα om. $V_3$ A τὰ μέγιστα $E_1$ $Lag^r$ ἐν om. $V_3$ ἐν τῇ δ΄ ἡμέρᾳ A τῇ ἡμέρᾳ τῇ δ΄ $V_3$ τῇ δὲ πέμπτῃ J L VS $Lag^r$ Lag. ε΄ $V_1$ $V_2$ $V_3$ ἐν τῇ πέμπτῃ $E_1$ 556 - 657 πέμπτῃ ἡμέρᾳ ἐποίησε M τῇ ε΄ $V_3$ A τὰ κήτι A α΄ τὰ κήτη ... β΄ τοὺς ... $V_3$ 657 ἰχθοίας A ἰχύας $Lag^r$ ἀλα A post ἑρπετὰ om. τὰ $V_3$ $Lag^r$ 657 - 658 τὰ ἐν τοῖς... πτερωτὰ om. M ἄλλα τὰ κινούμενα ἐν τοῖς ὕδασι καὶ τὰ πτερωτὰ πετεινὰ $E_1$ 658 post ὕδασι add. γ΄ $V_3$ πετινὰ A τὰ γ΄ ἔργα μεγάλα A τρία μεγάλα ἔργα $V_1$ $V_2$ L M $E_1$ 658 - 659 ταῦτα ... ἡμέρᾳ om. $V_3$ 659 τῇ ε΄ ἡμέρᾳ $V_1$ M ἐν τῇ πέμπτῃ ἡμέρᾳ om. A τῇ ϛ΄ $V_1$$V_2$$V_3$ τῇ δὲ ἕκτῃ J L VS $Lag^r$ Lag. τῇ ϛ΄ τὰ θηρία A ἕκτῃ τὰ θηρία L Τῇ ἕκτῃ ἡμέρᾳ

τὸν ἄνθρωπον[1]. Ταῦτα τὰ τέσσαρα μεγάλα ἔργα ἐποίησεν ὁ Θεὸς ἐν τῇ ἕκτῃ ἡμέρᾳ. Καὶ ἐγένετο πάντα δύο καὶ εἴκοσι γένη ἐν ταῖς ϛ΄ ἡμέραις. «Καὶ συνετέλεσε πάντα τὰ ἔργα αὐτοῦ ἐν τῇ ἕκτῃ ἡμέρᾳ»[2], ὅσα ἐν τοῖς οὐρανοῖς καὶ ἐν τῇ γῇ, ἐν ταῖς θαλάσσαις καὶ ἐν ταῖς ἀβύσσοις, ἐν τῷ φωτὶ καὶ ἐν τῷ σκότει καὶ ἐν πᾶσι. Καὶ ἀνεπαύσατο ὁ Θεὸς ἐκ πάντων τῶν ἔργων αὐτοῦ ἐν τῇ ἑβδόμῃ ἡμέρᾳ καὶ ηὐλόγησεν αὐτὴν καὶ ἡγίασεν αὐτήν[3]. Καὶ ἐδήλωσε δι' ἀγγέλου τῷ Μωϋσῇ ὅτι καὶ εἴκοσι δύο κεφαλαὶ ἀπὸ Ἀδὰμ μέχρι τοῦ Ἰακὼβ τοῦ καὶ Ἰσραὴλ λέγων «καὶ ἐκλέξομαι ἐμαυτῷ ἐκ τοῦ σπέρματος αὐτοῦ λαὸν περιούσιον ἀπὸ πάντων τῶν ἐθνῶν»[4]. Αἱ δὲ κεφαλαί, αἵ εἰσι γενεαί, περὶ ὧν εἶπεν ὁ Κύριος, εἰσὶν αὗται : Ἀδάμ, Σήθ, Ἐνώς, Καϊνάν, Μαλελεήλ, Ἰάρεδ, Ἐνώχ, Μαθουσάλα, Λάμεχ, Νῶε, Σήμ[5], Ἀφραξάδ, Σάλα, Ἕβερ,

1. Γεν. 1,24 - 26. 2. Γεν. 2,2. 3. Πρβλ. Γεν. 2,3. 4. Πρβλ. Ἐξ. 19,5. Δευτ. 14,2. 5. Πρβλ. Α' Παρλ. 1,1-4.

τὰ κτήνη, τὰ θηρία $E_1$ 659 - 660 α΄ τὰ θηρία β΄ τὰ κτήνη γ΄ τὰ ἑρπετὰ τῆς γῆς δ΄ τὸν ἄνθρωπον $V_3$ Τῇ ἕκτῃ ἡμέρᾳ ἐποίησε τὰ θηρία, τὰ... γῆς τὸν Ἀδὰμ M 660 δ΄ μεγάλα $V_2$ L A 660 - 661 Ταῦτα ... ἡμέρᾳ om. $V_3$ ὁ Θεὸς ἐν τῇ ἕκτῃ ἡμέρᾳ om. A τῇ ἡμέρᾳ τῇ ἕκτῃ M 661 ἐγένοντο L A M post πάντα add. τὰ $V_2$ εἴκοσι δύο γένη M κβ΄ γένη A Lag. Καὶ ἰδοὺ ἐν τῇ στ΄ ἡμέρᾳ ἐγένοντο τὰ πάντα εἴκοσι δύο γένη ἐν ταῖς στ΄ ἡμέραις $V_3$ ἐγένετο οὖν τὰ πάντα εἴκοσι καὶ δύο γένη ἐν ταῖς ἓξ ἡμέραις $E_1$ ἓξ ἡμέραις A M κβ΄ γένη ἐν ταύταις $Lag^s$ καὶ ἐγένετο πάντα τὰ ἐν ταῖς ἓξ ἡμέραις παρὰ τοῦ Θεοῦ ποιηθέντα ἔργα κβ΄ J L VS $Lag^r$ 662 post συνετέλεσεν add. ὁ Θεὸς J L VS $Lag^r$ Lag. τὰ ἔργα αὐτοῦ om. J L VS $Lag^r$ τῇ ἡμέρᾳ τῇ ἕκτῃ $E_1$ τῇ ἡμέρᾳ τῇ ϛ΄ $V_1 V_2 V_3$ M 663 ἐπὶ τῆς γῆς $V_1 V_2$ ὅσα ἐπὶ τῆς γῆς $V_3$ M $E_1$ καὶ ἐν ταῖς θαλάσσαις καὶ ἐν πάσαις ταῖς ἀβύσσοις $E_1$ τοῖς ἀβύσσοις M 663 - 664 ἐν ταῖς θαλάσσαις... πᾶσι om. $V_3$ καὶ ἐν τῷ σκότει καὶ ἐν πᾶσι om. $E_1$ 664 ἀπὸ πάντων $V_3$ M $E_1$ 665 ἐν om. M ἐν τῇ ζ΄ $V_3$ ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ $E_1$ εὐλόγησεν $V_3$ L M $E_1$ 665 - 666 τοῦτο καὶ ἐδήλωσε διὰ τοῦ ἀγγέλου τῷ Μωυσῇ M 666 διὰ τοῦ ἀγγέλου $V_1$ $V_2$ post δύο add. ἔσονται M L κβ΄ κεφαλαὶ $V_2$ κεφάλαια J VS $Lag^r$ Lag. κεφαλαί εἰσιν $Lag^s{}_1$ $Lag^s{}_2$ ἀπὸ τοῦ Ἀβραὰμ $E_1$ 666 - 667 ἄχρι τοῦ Ἰακὼβ J L VS $Lag^r$ Lag. μέχρι Ἰακὼβ τοῦ καὶ Ἰσραὴλ $E_1$ 667 τοῦ om. $V_1$ $V_2$ τοῦ καὶ Ἰσραὴλ om. J L VS $Lag^r$ Lag. post Ἰσραὴλ add. ἐπικληθέντες, εἰρηνικὸς M λέγων om. $V_1$ $V_2$ J L VS M $E_1$ $Lag^r$ ἐμαυτοῦ M αὐτῷ (;) $E_1$ ἀπὸ τοῦ σπέρματος M 668 αἵ εἰσι γενεαὶ om. J L VS $Lag^r$ 668 - 669 ἐγένοντο δὲ αἱ κεφαλαὶ... ὁ Κύριος οὕτως $E_1$ ἐγένοντο δὲ αἱ κεφαλαὶ εἰς γενεάς, περὶ ὧν εἶπεν ὁ Κύριος οὕτως $V_1$ $V_2$ L 669 αὗται $Lag^s$ (;) Μαλελεήλ, om. $Lag^r$ 669 - 672 Ἀδάμ, Σὴθ (Σὴμ L), Ἐνὼς, Ἐνώχ, Ἀφραξάδ, Σάλα, Καϊνάν, Φαλέκ, Μαλελεήλ, Ἕβερ, Ραγοῦ, Ἰάρεδ, Σερούχ, Ναχώρ, Μαθουσάλα, Θάρρα, Λάμεχ, Νῶε, Ἀβραάμ, Ἰσαάκ, Ἰακώβ, Σὴμ ὁμοῦ... J L Ἀδάμ, Ἀφραξάδ, Σήθ, (Σὴμ $V_2$) Σάλα, Ἐνώς, Ἕβερ, Καϊνάν, Φαλέκ, Μαλελεήλ, Ραγαῦ, Ἰάρεδ, (Ἰάρεθ $V_2$) Σερούχ, Ἐνώχ, Ναχώρ, Μαθουσάλα, Θάρα, Λάμεχ, Ἀβραάμ, Νῶε, Ἰσαάκ, Σήμ, Ἰακὼβ ὁ καὶ Ἰσραήλ, ὁμοῦ... $V_1$ $V_2$ 669 - 728 Ἀδάμ... τρανότητα om. VS (ἐν τῇ ᾤᾳ ἀναγράφεται: Ζήτ(ει) ἀλλαχοῦ). 670 - 672 Ἀφραξάδ, Σήθ, Ἕβερ, τὸν γὰρ Καϊνὰν ἀπό τε τῆς... (δυσανάγνωστα) ...γραφῆς αὐτὸ τοῦ ἀριθμοῦ, Φαλέκ, Ραγαῦ, Σερίν, Μάχερ, Θάρρα $E_1$

Φαλέχ, Ραγαῦ (τὸν γὰρ Καϊνάν... τὸ βιβλίον τῶν ἀριθμῶν), Σερούχ, Ναχώρ, Θαρέ, Ἀβραάμ, Ἰσαάκ, Ἰακὼβ ὁ καὶ Ἰσραήλ[4], ὁμοῦ εἴκοσι δύο γενεαί. Δι᾽ ὃ καὶ εἴκοσι δύο εἰσὶ τὰ παρὰ τοῖς Ἑβραίοις γράμματα, ἅ ἐστι ταῦτα· ἄλεφ, βήθ, γιμηλ, δελεδ, η, ουαῦ, ζήθ, ἤθ, τήθ, ἰώθ, χάφ, λαμεδ, μήμ, νουν, σαμεχ, αϊν, φη, σαδη, κωφ, ρης, σιν, θαῦ. Διόπερ καὶ εἴκοσι δύο βίβλοι εἰσὶ τῆς Παλαιᾶς Διαθήκης ρηταὶ καὶ παρ᾽ αὐτοῖς τοῖς Ἑβραίοις εἴκοσι ἑπτὰ μὲν οὖσαι εἴκοσι δύο δὲ ἀριθμούμεναι ἐπειδήπερ καὶ πέντε τῶν στοιχείων παρ᾽ αὐτοῖς διπλοῦνται τὸ χὰφ διπλοῦν καὶ τὸ μὲμ καὶ τὸ νοῦν καὶ τὸ φὶ καὶ τὸ σάδι. 23. Οὕτως γὰρ αἱ βίβλοι ἀριθμοῦνται α΄ Βιρσήθ, ἣ καλεῖται Γένεσις κόσμου. Ἐλησιμώθ, ἡ Ἔξοδος τῶν υἱῶν Ἰσραὴλ ἐξ Αἰγύπτου. Οὐαϊεκρά, ἣ ἑρμηνεύεται Λευιτικόν. Οὐαϊδαβήρ, ἥ ἐστιν Ἀριθμῶν. Ἐλλεδεβαρείμ, τὸ Δευτερονόμιον. Διησοῦ, ἡ τοῦ Ἰησοῦ τοῦ Ναυῆ. Διώβ, ἡ τοῦ Ἰὼβ. Δεσωφτείμ, ἡ τῶν Κριτῶν. Δερούθ, ἡ τῆς Ρούθ.

1. Πρβλ. Α΄ Παρλ. 1,17-28.

672 Ἀβραάμ, Ἰσαάκ, Ἰακώβ, Σὴμ om. Lag. 672 - 673 ὁμοῦ... εἰσὶ om. Lag$^{r}$ 673 διὸ V$_{2}$ J καὶ om. Lag$^{s}$ καὶ κβ΄ L εἰσὶν γράμματα παρὰ τοῖς ἑβραίοις E$_{1}$ 673 - 675 τὰ γράμματα τὰ παρ᾽ αὐτοῖς ἅ τινα ἐστὶ τάδε α, β, γ, ... ω. V$_{1}$ V$_{2}$ ἅ ἐστί...θαῦ om. Lag$^{r}$ 673 - 677 γράμματα καὶ πρὸς αὐτὰ καὶ τὰς βίβλους αὐτῶν κβ΄ ἠρίθμησαν J L 674 γιβὴλ ἀελεὰ Lag$^{s}_{1}$ (ἐν τῇ ᾤᾳ) λαμελ Lag$^{s}_{1}$ (ἐν τῇ ᾤᾳ) 675 σαδην Lag$^{s}_{1}$ (ἐν τῇ ᾤᾳ) 675 - 680 Διὰ τοῦτο καὶ τὰς βίβλους αὐτῶν εἴκοσι δύο (κβ΄ Op. Pet.) ἠρίθμησαν (ἠρήθμησαν Lag$^{r}$) εἴκοσι ἑπτὰ οὔσας (οὔσαις J Lag$^{r}$) ἀλλ᾽ ἐπειδὴ διπλοῦνται πέντε παρ᾽ αὐτοῖς (παρ᾽ αὐτοῖς πέντε L) στοιχεῖα, εἴκοσι ἑπτὰ καὶ αὐτὰ ὄντα, καὶ εἰς κβ΄ (εἴκοσι δύο Lag$^{r}$) ἀποτελοῦνται (ἀποτελοῦντα L), τούτου χάριν καὶ τὰς βίβλους κζ΄ οὔσας κβ΄ πεποιήκασιν. Ὧν πρώτη Βρησίθ (βρισὴθ Lag$^{r}$), ἣ καλεῖται J L VS Lag$^{r}$ Lag. 680 ἣ Ἔξοδος Op. ἢ Ἔξοδος Pet. Dind. 680 - 691 β΄ ἐλλησιμώθ, ἣ καλεῖται Ἔξοδος τῶν υἱῶν Ἰσραήλ, γ΄ οὐδοϊεκρὰ ἣ ἑρμηνεύεται Λευιτικόν, δ΄ οὐιδιαβίρ, ἣ ἑρμηνεύεται ἀριθμῶν, ε΄ ἐλεδβαρίμ (ἐλεβορὶμ V$_{2}$), ὅ ἐστι Δευτερονόμιον, ς΄ δ᾽ Ἰησοῦ, ὅ ἐστι τοῦ Ἰησοῦ, ζ΄ διώβ, ὅ ἐστι τοῦ Ἰώβ, (η΄ V$_{2}$) δεσωφτείμ, ἣ ἐστὶ τῶν Κριτῶν, θ΄ θαροιλέ, ἥ ἐστι τῆς Ρούθ, ι΄ σφετελίμ, ὅ ἐστι τὸ Ψαλτήριον, ια΄ δεβριιαμείμ, ἥ ἐστι Παραλειπομένων πρώτη, ιβ΄ δεβρι<ια>μείμ, ἥ ἐστι Παραλειπομένων δευτέρα, ιγ΄ δεμουήλ, ἥ ἐστι βασιλειῶν πρώτη, ιδ΄ δᾶδι οὐδὲ ... (τὸ τμῆμα τοῦτο δηλ. «σαμουὴλ βα» εἶναι ἐσβεσμένον εἰς τοὺς κώδικας V$_{1}$ καὶ V$_{2}$) ...σιλειῶν δευτέρα (β΄ V$_{2}$) ιε΄ δᾶδι μελαχί, ἥ ἐστι βασιλειῶν τρίτη, ις΄ δᾶδι μελαχί, ἥ ἐστι βασιλειῶν τετάρτη (δ΄ V$_{2}$) (ιζ΄ V$_{2}$) δᾶδι (μαλωθ ἢ V$_{1}$) ἐστι Παροιμιῶν, ιη΄ δᾶδι ἐκοελέθ, ἥ ἐστὶν Ἐκκλησιαστής, ιθ΄ σιρὰ (σιράς V$_{2}$) σιρείμ, ἥ ἐστὶν Ἆσμα Ἀσμάτων, κ΄ διαθαρὶ ἀσαρά, ὅ ἐστι τὸ Δωδεκαπρόφητον, κα΄ δ᾽ Ἡσαΐου, ἥ ἐστιν Ἡσαΐου τοῦ προφήτου, κβ΄ δ᾽ Ἱερεμίου, (Ἱερεμία V$_{2}$) ἥ ἐστιν Ἱερεμίου τοῦ προφήτου, κγ΄ δ᾽ Ἰεζεκιήλ, ἥ ἐστιν Ἰεζεκιὴλ τοῦ προφήτου, κδ΄ δηδανιὴλ (δεδανιὴλ V$_{2}$), ἥ ἐστι Δανιὴλ τοῦ προφήτου, (κε΄ V$_{2}$) δ᾽ (δὲ V$_{2}$) δέσδρα, ἥ ἐστι(ν) Ἔσδρα πρώτη, κς΄ δ᾽ δέσδρα (δέσαρα V$_{2}$), ἥ ἐστιν Ἔσδρα δευτέρα, κζ΄ δεσθήρ, ἥ ἐστὶ τῆς Ἐσθὴρ V$_{1}$ V$_{2}$ 681 ἐξ Αἰγύπτου om. V$_{2}$ οὐδωιεκρὰ J L γ΄ οὐδοίεκρὰ ἑρμηνεύεται V$_{2}$ ιουδδαβὴρ J οὐίδδαβὴρ L 682 ἀριθμῶν om. Lag$^{r}$ (ἐσβεσμένον) Ἐλλ. ὅ ἐστὶ Δευτ. Lag$^{s}$ 683 τοῦ Ναυῆ om. Lag$^{s}$ τοῦ Ναῆ Lag$^{r}$ διὼβ ἡ

Σφερτελείμ, τὸ Ψαλτήριον. Δεβριιαμείν, ἡ πρώτη τῶν Παραλειπομένων. Δεβριιαμείν, Παραλειπομένων δευτέρα. Δεσαμουήλ, Βασιλειῶν πρώτη. Δαδουδεσαμουήλ, Βασιλειῶν δευτέρα. Δμαλαχείμ, Βασιλειῶν τρίτη. Δμαλαχείμ, Βασιλειῶν τετάρτη. Δμεθαλώθ, ἡ Παροιμιῶν. Δεκωέλεθ, ὁ Ἐκκλησιαστής. Σιραθσιρείν, τὸ Ἆσμα τῶν Ἀσμάτων. Δαθαριασαρά, τὸ Δωδεκαπρόφητον. Δησαΐου, τοῦ προφήτου Ἡσαΐου. Διερεμίου, ἡ τοῦ Ἱερεμίου. Διεζεκιήλ, ἡ τοῦ Ἰεζεκιήλ. Δεδανιήλ, ἡ τοῦ Δανιήλ. Δέσδρα, ἡ τοῦ Ἔσδρα πρώτη. Δέσδρα, ἡ τοῦ Ἔσδρα δευτέρα. Δεσθήρ, ἡ τῆς Ἐσθήρ. Αὗται δὲ αἱ εἴκοσι ἑπτὰ βίβλοι εἴκοσι δύο ἀριθμοῦνται κατὰ τὸν ἀριθμὸν τῶν στοιχείων, ἐπειδήπερ καὶ πέντε στοιχεῖα διπλοῦνται, καθὼς ἄνω προείπομεν. Ἔστι δὲ καὶ ἄλλη μικρὰ βίβλος, ἣ καλεῖται Κινώθ, ἥτις ἑρμηνεύεται θρῆνοι Ἱερεμίου. Αὕτη δὲ τῷ Ἱερεμίᾳ συνάπτεται, ἥτις ἐστὶ περισσὴ τοῦ ἀριθμοῦ καὶ τῷ Ἱερεμίᾳ συναπτομένη. Οὗτοι οἱ εἴκοσι δύο ἀριθμοὶ πανταχοῦ εὑρισκόμενοι καὶ ἐν διαφόροις εἴδεσιν ἀριθμούμενοι, ἔν τε τοῖς εἴκοσι δύο ἔργοις, οἷς ἐποίησεν ὁ Θεὸς ἐν ταῖς ἓξ ἡμέραις τῆς κοσμοποιΐας, καὶ ἐν ταῖς εἴκοσι δύο γενεαῖς ἀπὸ Ἀδὰμ ἄχρι τοῦ Ἰσραὴλ καὶ ἐν τοῖς εἴκοσι δύο στοιχείοις τῶν γραμμάτων ἀπὸ τοῦ ἄλεφ ἄχρι τοῦ θαῦ καὶ ἐν ταῖς εἴκοσι δύο βίβλοις ἀπὸ τῆς Γενέσεως ἄχρι τῆς Ἐσθήρ, μέτρον ἡμῖν ἐγέννησαν εἴκοσι δύο ξεστῶν, ὃ καλεῖται παρ' Ἑβραίοις μόδη, παρ' Ἕλλησι δὲ μόδια, διὰ τὴν τρανότητα. Παραπλησίως δὲ καὶ Αἰγύπτιοι μέντοι τοῦτο καλοῦσιν. Ὁμοίως δὲ καὶ Σύροι καὶ Ἄραβες μόδια λέγουσιν, ὃ ἑρμηνεύεται ὁμολογία. Πληρωθεὶς γὰρ ὁ μόδιος ὁμολογεῖ ὅτι πεπλήρωμαι. Καὶ κατ' ἄλλας δὲ ἑρ-

τοῦ Ἰὼβ om. Lag$^r$ (ἐσβεσμένον) διασωφλεὶμ L διασωφτεὶμ J Lag$^r$ διασωφθεὶμ Op. Pet. διαροὺθ J L Lag$^r$

684 δεβριιαμεὶμ J Lag$^r$ δεβριαμεὶμ L 685 ἡ τῶν Παρ. δευτέρᾳ L δεμουεὶλ L δεμουὲλ Lag$^r$ 686 δαδουδεμουὴλ J Lag$^r$ δαδουδεμουὲλ L 686 - 687 δαμαλαχεὶ... δμαλαχεὶ L 686, 686 - 687 δμαλαχεὶ J Lag$^r$ 687 βασιλειῶν δ' J δμεαλὼθ J L Lag$^r$ ὁ om. Pet. Dind. 688 σιρασιρεὶμ J Lag$^r$ σιγασειρεὶμ L 690 δδανιὴλ J L Lag$^r$ διδανιὴλ Pet. δδέσδρα J L Lag$^r$ διδέσδρα Pet. 691 α' J ἔσδα Lag$^r$ τοῦ Ἐσθὴρ L δεθὴρ Lag$^r$ A om. $V_2$ 692 κζ' $V_1 V_2$ L κβ' J L Lag$^r$ 694 μικρὰ om. L 695 θρῆνος J VS Lag$^r$ Lag. δὲ om. $V_2$ περισῆ J Lag$^r$ 696 post ἀριθμοῦ add. τούτου Lag$^s$ κβ' $V_1$ $V_2$ 697 κβ' $V_1 V_2$ L 698 ς' $V_1 V_2$ 699 ταῖς om. $V_2$ J L VS Lag$^r$ Lag. κβ' $V_2$ L post ἀπὸ add. τοῦ $V_1$ $V_2$ J L μέχρι Ἰσραὴλ $V_2$ 700 ἐν τοῖς $V_2$ J Lag$^r$ 700 - 701 κβ' $V_1$ $V_2$ J L 701 βιβλίοις $V_2$ τοῦ Ἐσθὴρ L ἐγενήθησαν J L Lag$^r$ ἐγεννήθησαν Op. Pet. 702 κβ' ξέστων $V_1$ $V_2$ J L Lag$^r$ Ἑβραίοις μόδιον $V_2$ L μόδι(ον $V_2$) ὃ Ἕλληνες ἑρμηνεύσαντες μόδιον καλοῦσι $V_1$ $V_2$ Lag$^s$ 703 διὰ τὴν τρανότητα om. $V_1$ $V_2$ μέντοι λέγουσι(ν $V_2$) $V_1$ $V_2$ Lag$^s$ καλοῦσι τοῦτο Lag$^r$ 704 οἱ Σύροι $V_1$ $V_2$ Ἄρραβες Pet. 704 - 705 ἑρμηνεύεται ἐκ τῆς ἑβραΐδος ὁμολογεῖ· ὁμολογεῖ ὅ ἐστι μόδι· ἐὰν μὴ πληρωθῇ ὁ μόδιος οὐχ ὁμολογεῖ ὅτι πεπλήρωμαι $V_1$ $V_2$ Lag$^s$ 705 - 706 Καὶ κατ'... καλεῖται om. J L VS Lag$^r$ Lag. (Ὁ Lag. ἀγνοῶν τὸ ἑλληνικὸν κείμενον ἀφήνει κενὸν τὸν στίχον παραθέτει δὲ ἐν ὑποσημειώσει γερμανικὴν μετάφρασιν ἐκ τοῦ συριακοῦ).

μηνείας διαφόρως καλεῖται. Καλεῖται δὲ καὶ γνώμων, ὅ ἐστι μέτρον. Καλεῖται ὁμολογία καὶ ὁμολόγημα καὶ ὁμόλογος.

24. Τῷ δὲ ἀριθμῷ τῶν κβʹ ἔργων τοῦ Θεοῦ τῶν ἀπ' ἀρχῆς καὶ τῶν κβʹ γενεῶν ἕως τοῦ Ἰακὼβ καὶ τῶν κβʹ βιβλίων ἕως τῆς Ἐσθὴρ καὶ διὰ τῆς τῶν κβʹ γραμμάτων ὑποθέσεως, ἐξ ὧν ὁ νόμος τοῦ Θεοῦ ἡμῶν παρέστη καὶ Θεοῦ διδασκαλία ἡμῖν προτετύπωται, τοῦτο δηλοῦται, ὅτι ἐκ τοῦ νόμου καὶ τῶν ἐν αὐτῷ μυστηρίων Ἰησοῦς ὁ Χριστὸς ἡμῖν ἐρχόμενος ἐμαρτυρήθη καὶ ἀπεκαλύφθη, ὃς ἐλθὼν ἐν τῷ εὐαγγελίῳ ἐπλήρωσεν ἡμῖν τὸ μέτρον τῆς ζωῆς διὰ τοῦ μοδίου, τοῦτ' ἐστὶ τῆς ὁμολογίας, παντὶ τῷ εἰς αὐτὸν ὁμολογήσαντι[1] καὶ τὴν ζωὴν παρ' αὐτοῦ κομισαμένῳ. Δι' ὃ τὸ μέτρον τὸ ἅγιον Ἑβραῖοι λέγουσιν ὅτι ἐστὶ κβʹ ξεστῶν κατὰ τοὺς προειρημένους ἀριθμοὺς τοὺς διαφόρως εἰρημένους. Πολλοὶ γὰρ τῶν ἄλλων ἐθνῶν ἢ προσέθεντο ἢ ἀφείλοντο ἀπὸ τοῦ μέτρου τούτου, τοῦ ἀκριβῶς παρ' Ἑβραίοις ἀριθμηθέντος. Ἀλλὰ καὶ παρὰ Ρωμαίοις συμβέβηκεν ὁμοιοκαταλήπτως μόδιουμ μέτρον καλεῖσθαι, ὥσπερ παρ' Ἑβραίοις τὸ ἄλεφ τῷ παιδίῳ τὸ μανθάνειν παραινεῖ, καὶ παρ' Ἕλλησι τὸ ἀλφεῖν ζητεῖν συμβέβηκε καλεῖσθαι· ὅθεν δῆλον ὅτι καὶ τὸ ἄλφα ἐξ ἑβραΐδος παρηνέχθη εἰς τὴν ἑλληνίδα. Τὸ γοῦν μόδιον ὡς ἐκ τῆς ἑβραΐδος ηὑρέθη, ὁμολογεῖν λεχθέν, ὡς πολλάκις εἶπον, διὰ τῆς χρήσεως ἑρμηνεύεται. Εἰ μὴ γὰρ αὐτὸν πληρεστάτως γεμίσειέ τις, οὐχ ὁμολογεῖ ὅτι πεπλήρωμαι, πλήσας δὲ τὸ μέτρον καὶ ῥιτλιάσας ἀπετέλεσε μόδιον, τουτέστι πλήσας τὸ μέτρον ὁμολογεῖ ὅτι πεπλήρωμαι. Μετενεχθὲν δὲ τὸ

1. Πρβλ. Ματθ. 10, 32

706 Καλεῖται γὰρ γνώμων $V_1$ $V_2$ $Lag^s$ 706 - 707 ὅ ἐστι... ὁμόλογος om. J L $Lag^r$ 707 post καλεῖται add. δὲ $V_1 V_2$ 708 τῷ γὰρ $V_1$ $V_2$ ἀπαρχῆς J 709 εἴκοσι δύο βιβλίων $Lag^r$ τοῦ Ἐσθὴρ $V_2$ τῆς κβʹ J VS $Lag^r$ Lag. 710 γραμμάτων om. $V_2$ ὑποθέσεως (ὑπόθεσις $V_2$) ἐξ ὀνόματος τοῦ Θεοῦ $V_1 V_2$ (Ὁ $V_2$ ἐπαναλαμβάνει τὸ κείμενον ἀπὸ τοῦ στ. 708 κ.ἑ. «τῶν ἀπ' ἀρχῆς... ὑποθέσεως». Τὴν δευτέραν φορὰν ἀντὶ «ὑπόθεσις» ἐπαναλαμβάνει τὸ «ὑποθέσεως» δίς). 711 post διδασκαλία add. τὰ πάντα $V_1$ $V_2$ 711 τοῦτο δηλοῦται om. $Lag^s$ 711 - 712 ἡμῖν προτετύπωται, ἀφ' οὗ νόμου καὶ τῶν ἐν αὐτῷ μυστηρίων Ἰησοῦς Χριστὸς ἐρχόμενος ἐμαρτυρήθη $V_1 V_2$ 712 Ἰησοῦς om. J $Lag^r$ 714 μόδι τουτέστι $V_1$ $V_2$ ὁμολογήσεως ἐν παντὶ $V_1 V_2$ 715 διὸ $V_1 V_2$ 716 λέγουσι κβʹ ὅ ἐ(στι) ξέστων L ὅ ἐστιν $V_1 V_2$ ὅ ἐστι $Lag^r$ ξέστων $V_1 V_2$ J 716 - 717 ἀριθμοὺς τοὺς διαφόρως εἰρημένους om. J L $Lag^r$ 717 προσέθηκαν $V_1$ $V_2$ ἀφείλαντο J L $Lag^r$ Lag. 719 ὁμοίως καταλεπτῶς μοδίου $V_1 V_2$ μοδίου J L $Lag^r$ 719 - 722 καλεῖσθαι· πόθεν δὲ ἐφοίτησεν ἐξ ἑβραΐδος δῆλον, παρηνέχθη δὲ εἰς τὰς ἄλλας γλώσσας. Τὸ γοῦν μόδι... $V_1$ $V_2$ $Lag^s$ 721 τὸ ἄλφειν $V_2$ δηλονότι Pet. Dind. 723 ηὑρέθη Lag. ὁμολογεῖ $V_2$ 724 ἑρμηνευόμενον J L $Lag^r$ ρητλιάσας J 725 - 726 ἀπετέλεσε μόδιον, τουτέστι πλήσας τὸ μέτρον om. J L 726 - 728 μετενεχθὲν... τρανότητα om. J L $Lag^r$ Lag.

Ἐν στ. 729 ἄρχεται ἡ παράθεσις ἐκ τοῦ κώδικος VS ἀφ' οὗ παραλείπονται τὰ «Ἀδὰμ...» (στ. 669) μέχρι «...τρανότητα» (στ. 728). Ἐν ἀρχῇ ἀναγράφεται : «Περὶ κάβου. Ἐξ αὐτῆς ...» καὶ συνεχίζεται κανονικῶς τὸ κείμενον VS

ὄνομα εἰς ἑλληνίδα, ὡς ἔφην, ἀπὸ τοῦ μόδι (;) μόδιος κέκληται διὰ τὴν τρανότητα.

Κάβος δὲ ἐξ αὐτῆς τῆς διαλέκτου διάφορον μέτρον ἐστὶν ἤγουν τὸ τέταρτον μοδίου.

Χοῖνιξ δὲ καὶ ὑφὴ ἓν μέν ἐστι, διττῷ δὲ ὀνόματι κέκληται. Ἔστι δὲ δύο ξεστῶν καὶ ποστημορίου.

Δρὰξ ἀλεύρου· τοῦτο ἀπερίεργόν ἐστι καὶ πᾶσι δῆλον.

Ἀρτάβη, τοῦτο τὸ μέτρον παρ' Αἰγυπτίοις ἐκλήθη. Ἔστι δὲ οβ' ξεστῶν. Ἐκ πολλῆς δὲ ἀκριβείας καὶ τοῦτο οὕτως συνήχθη· ἑβδομήκοντα δύο γὰρ ἄνδρες τότε τὸν πύργον ᾠκοδόμουν, ὅτε καὶ εἰς ἑβδομήκοντα δύο γλώσσας ἐκ μιᾶς συνεχέθησαν· ὅθεν καὶ μέροπες ἐκλήθησαν εἰς τὴν μεμερισμένην φωνήν.

Τὸ δ' αὐτὸ καὶ ὁ μετρητὴς τὸ μέτρον ἔχει τῶν οβ' ξεστῶν κατὰ τὸ μέτρον τὸ ἅγιον.

Τρία μέτρα σεμιδάλεως, ἃ τοῖς ἀγγέλοις Ἀβραὰμ τῇ Σάρρᾳ ἑτοιμάζειν προσέταττεν, ἐξ ὧν τριῶν μέτρων ἐγκρυφίαν ἄρτου γενέσθαι ἐνετείλατο[3].

3. Πρβλ. Γεν. 18, 6.

729 κάμος Op. δὲ om. $V_1V_2$ μέτρον διάφορον ἐστὶν L ἤγουν τὸ om. $V_1$ $V_2$ 730 μόδιον $V_2$ 731 τε καὶ οἶφι ἐστι τὸ μέτρον $V_1$ $V_2$ 732 ξέστων $V_1$ $V_2$ L VS 733 ἀλέβρου $Lag^r$ τούτῳ ἀπερίεργον E post δῆλον add. Ἀπὸ γὰρ τοῦ δράσεσθαι τῇ μιᾷ χειρὶ τὸν μετροῦντα τὸ χειροπληθὲς τῆς μιᾶς χειρὸς δράκα κεκλήκασιν E 734 Περὶ ἀρτάβης. Ἀρτάβη E ἑβδομήκοντα δύο J L VS $Lag^r$ Lag. 734 - 735 ξέστων $V_1$ J L VS 735 - 736 οβ' $V_1$ $V_2$ 735 - 738 Ἐκ πολλῆς... φωνὴν om. E 736 γὰρ om. J VS $Lag^r$ Lag. 736 - 737 ᾠκοδόμουν καὶ τὴν Βαβυλῶνα, ὅτι εἰς οβ' γλώσσας ἐκ μιᾶς συνήχθησαν $V_1V_2$ 737 ἐν μιᾷ συνήχθησαν L διὰ τὴν $V_2$ 739 αὐτὸ τὸ μέτρον VS $Lag^r$ Περὶ μετρίτου. Καὶ μετρίτης τὸ αὐτὸ μέτρον ἔχει τῶν οβ' ξεστῶν E τῶν οβ' ξεστῶν om. $V_1$ $V_2$ 740 post ἅγιον cod. E add. «Εἰσὶ γὰρ καὶ ἄλλοι μετρίται ἐν ἄλλοις πατράσιν ἄλλως μετρούμενοι· ἐν μὲν Κύπρῳ ἀπὸ ληνοῦ καταγγιζόμενοι ρ' καὶ δ' ξέσται λογιζόμενοι τῶν δ' ξεστῶν εἰς τρύγην ρ' δὲ λογιζομένων διὰ τὴν τρύγην ἐν τῷ ἐπιχειρίῳ ξέστῃ. Τοῦ δὲ ἁγίου μέτρου οβ' ξεστῶν ὑπάρχει ὅ τε ὑγρὸς μετρίτης καὶ ἡ ἀρτάβη τοῦ γεννήματος. Ἐκλήθη ἀρτάβη ἀπὸ τῆς αἰγυπτιακῆς διαλέκτου, ὃ καλεῖται ἀρτὼβ ἑρμηνευόμενον καλῶς συνηγμένον καὶ καλῶς ἀποτεθέν· ἀρτάβη διὰ τὴν τῆς ἑλληνίδος διαλέκτου τρανότητα. Γέγραπται δὲ ἐν τῷ Ἡσαΐᾳ «ὁ σπείρων ἀρτάβας καὶ ποιήσῃ μέτρα τρία» (Πρβλ. Ἡσ. 5, 10) τουτέστιν ἀπὸ πολλοῦ πλούτου σποράς, διὰ τὴν ἀφορίαν εἰς ἐλάχιστον τελεσφορεῖσθαι. Τὰ γὰρ τρία μέτρα ἐστὶ τὸ μικρὸν γόμορ· ξέσται στ' ὑπάρχουσιν, ὥστε εἶναι τὸ δωδέκατον τῆς ἀρτάβης. Ἔχουσι δὲ ἓξ ἀρτάβαι ξέστας υλβ' ὥστε ποιῆσαι τὸν σπείροντα τὰς ἀρτάβας τὸ οβ' τούτων. Ἐπειδὴ δὲ συνημμένως παρὰ τῷ Ἡσαΐᾳ οὐ ἐργῶνται ζεύγη βοῶν ι' (Πρβλ. Ἡσ. ἔνθ' ἀν.) ἐπὶ [περ] τῷ ἀρότρῳ διὰ βοῶν τὰς ἀμπέλους ἐργάζονται. Φησὶ ποιήσῃ κεράμιον ἕν (Πρβλ. Ἡσ. ἔνθ' ἀν.), ἵνα δ' εὕρῃ τοσοῦτον μέτρον τῆς ἀμπέλου, εἰς μεγίστην ἀφορίαν καταπεσεῖν. 741 ἅ τοις ἅ τοις $V_2$ τὴν Σάρραν $V_1$ $V_2$ 742 προσέταξεν E τριῶν om. J VS $Lag^r$ Lag. μέτρων τριῶν $V_1V_2$ ἐγκρυφίῳ L εἰς κρυφίαν E ἐγκρυφίας ἄρτους Dind. ἄρτον Lag.

Ταῦτα δὲ τὰ μέτρα ἕκαστον γόμορ ἐχώρει.

Τὸ δὲ γόμορ δέκατον ἦν τοῦ μεγάλου μέτρου, τοῦτ᾿ ἔστι τῆς ἀρτάβης, ὃ γίνεται ἑπτὰ ξεστῶν καὶ πέμπτον. Ἐν δὲ τῷ αὐτῷ μοδίῳ τοῦ γόμορ τρία μέτρα πάλιν ὑπάρχει, ἃ ἐγένοντο ἀπὸ ξεστῶν β′ καὶ γ′.

Τρία κανᾶ χονδριτῶν, ἔνθα εἰώθασι τότε ἐν τοῖς καινοῖς ἀποτιθέναι τοὺς χονδρίτας. Ἔστι δὲ εἶδος σίτου εἰς δύο τεμνομένου.

Νέβελ οἴνου, ὅπερ ἐστὶ μέτρον ξεστῶν ρν′, ὃ ποιεῖ ὑγρὰ σάτα γ′. Τὸ γὰρ ὑγρὸν σάτον νς′ ξεστῶν ὑπάρχει.

Ἀλάβαστρον μύρου, βικίον μὲν ὑέλινόν ἐστιν χωροῦν λίτραν ἐλαίου. Τὸ δὲ μέτρον ἐστὶ ξέστου τὸ ἥμισυ. Ἀλάβαστρον δὲ κέκληται διὰ τὸ εὔθρυπτον, ἁλὶ ἀπεικαζόμενον.

Καμψάκης ὕδατος δώδεκα μὲν ξεστῶν ἐστὶ τὸ μέτρον. Ὁ δὲ τῷ Ἠλίᾳ ἑτοιμασθεὶς ὁ καὶ αὐτὸς καμψάκης[1] ἦν τεσσάρων ξεστῶν τὸ μέτρον.

1. Πρβλ. Γ′ Βασ. 17,12.14

743 post δὲ add. καὶ $V_2$ ἕκαστον om. E γομὸρ $V_1$ γόμον J VS $Lag^r$ 744 γομὸρ $V_1$ γόμορον $V_2$ γόμιον VS $Lag^r$ ἦν om. E μέτρου, αὐτῆς τῆς VS τουτέστι $V_1$ $V_2$ τουτέστι τῆς om. $Lag^r$ (ἐσβεσμένον) 745 ὃ γίνονται ξέσται καὶ ε′ E ξέσται $V_2$ ξέστων J 745 - 746 ἐν δὲ... γ′ om. $V_1$ $V_2$ J L VS 747 Κανοῖς $V_2$ 747 - 748 Περὶ χονδρίτου. Τρία κανᾶ χονδριτῶν· οὐκ ἔστι δὲ τοῦτο τὸ μέτρον εἰ μὴ σκεῦος ἐν ᾧ ἀποτίθενται οἱ χονδρῖται. Εἰσὶ δὲ οἱ χονδρῖται εἶδος σίτου· ἐν δὲ τοῖς καινοῖς κελίοις ἀπετίθεντο οἱ χονδρῖται E καν(ᾶ χονδριτ om. $Lag^r$)ῶν, ἔνθα εἰώθασι(ν $Lag^r$) τότε ἀποτίθεσθαι τοὺς χονδρίτας (χοντρίτας $Lag^r$) J L VS $Lag^r$ Lag. 748 εἶδος τούτου J VS εἶδος ἄρτου Dind. Lag. εἶδος σίτου om. $Lag^r$ (ἐσβεσμένον) τεμνόμενον $V_2$ 749 Περὶ νέβελ. Νέβελ οἴνου· Τὸ νέβελ μέτρον ἐστὶν ἐν δυσὶν ἀσκοῖς καταγγιζόμενον E ὅπερ om. $V_1$ post οἴνου add. τὸ νέβελ μέτρον ἐστὶ $V_1$ 749 - 753 Νέβελ... ἀπεικαζόμενον om. $V_2$ 749 ξέστων J VS ὃ ποιεῖ ὑγρὰ σάτα γ′ om. $V_1$ J L VS $Lag^r$ Lag. 750 γὰρ ὑγρὸν om. $V_1$ J L VS $Lag^r$ Lag. ξέστων J VS ὑπάρχει ὃ ἑρμηνεύεται καὶ... (δυσανάγνωστα) ... ἀπὸ τοῦ ὑπολινίου γε μερίσαντός τινος. Περὶ κολάθου. Κόλλαθόν ἐστι παρὰ Σύροις τὸ ἥμισυ τοῦ ὑγροῦ σάτου, ὅ ἐστι κε′ ξεστῶν E 751 μύρου, ὡς ἐν τῷ εὐαγγελίῳ γέγραπται E (Πρβλ. Ματθ. 26, 7. Μάρκ. 14, 3. Λουκ. 7,37) βισίον $V_1$ βυκίον $Lag^r$ μὲν om. E ἐστὶν ὑέλινον J L VS post ἐστὶ add. λίτρα δὲ ἐν αὐτῷ ἐλαίου σταθμὸς $V_1$ ὑελοῦν λίτρας δέ ἐστιν ὁ ἐν αὐτῷ τοῦ ἐλαίου σταθμὸς E ἄτραν ἐλαίου VS ἔλαιον $Lag^r$ 752 ξέστου ἥμισι $Lag^r$ 752 - 753 δι᾿ εὔθρυπτον E 753 ἁλὶ ἀπεικαζόμενον om. $V_2$ J L VS $Lag^r$ Lag. post ἀπεικαζόμενον add. Λέγει γὰρ ἡ Γραφὴ «καὶ συντριβήσεται ὡς ἀλάβαστρον» E (Πρβλ. Μάρκ. 14, 3) 754 Περὶ καμψάκου. Καμψάκης E καμψάκις Op. ιβ′ L E μὲν om. $V_1$ $V_2$ J L VS $Lag^r$ Lag. ιβ′ ξέστων ὕδατος ἔστι J VS ἐστὶ om. L 754 - 755 Τῷ (τὸ $V_2$) δὲ τῷ Ἠλίᾳ ἑτοιμασθὲν ὃ καὶ αὐτὸ $V_1$ $V_2$ μέτρον, ὅ ἐστιν, ἀντὶ τοῦ κάβου τοῦ σιτικοῦ μέτρου. Περὶ καβουκίου. Καβούκιον καλεῖται τούτῳ δὲ ὁ μέγας καμψάκης. Τῷ δὲ τῷ Ἠλίᾳ ἑτοιμασθέν, ὅ ἐστι καὶ αὐτὸς καμψάκης δ′ ἐστι ξεστῶν τὸ μέτρον E 755 ἑτοιμασθεὶς καμψάκης τεσσάρων ἐστὶ ξεστῶν (ξέστων J) J L VS $Lag^r$ Lag. τεσσάρων ἐστὶ ξέστων τὸ μέτρον, ἤγουν σταθμὸς δ′ ξέστων ἐστὶ $V_1$ $V_2$ Post μέτρον E add. Μέτρον δέ ἐστι τῆς στάμνου. Στάμνος δὲ τοῖς Ἰταλικοῖς, ἤγουν τοῖς Ἀλεξανδρινοῖς εἶχε ξεστοὺς (sic) δ′.

Κοτύλη ἥμισυ ξέστου ὑπάρχει· κέκληται δὲ κοτύλη ἀπὸ τοῦ τὸν ξέστην εἰς δύο κόπτεσθαι.

Κύαθός ἐστιν ἕκτον ξέστου. Μεδεκὼθ δὲ λέγει τοὺς κυάθους ἡ Γραφή. Τὰ δὲ μασμαρὼθ λέγει τοὺς διυλιστῆρας, οὓς καὶ ἰθμοὺς καλοῦμεν. Τῷ αὐτῷ δὲ ὀνόματι ἀμφότερα κέχρηνται, ἐπεὶ καὶ τὴν αὐτὴν ἐνέργειαν ἔχουσι.

Τρυβλίον ὀψόβαφόν ἐστι τὴν πλάσιν, ἤτοι παροψίς, ἥμισυ δὲ ξέστου τὸ μέτρον ἔχει. Ξέστης ὁ Ἀλεξανδρινὸς δύο λιτρῶν φέρει ὁλκὴν ἐν τῷ ἐλαίῳ.

Ἀπόρρυμα παρὰ μόνοις Θηβαίοις μετρεῖται. Ἥμισυ γὰρ τοῦ σαΐτου ἐστίν. Ὁ δὲ ἀληθινὸς σαΐτης ξεστῶν ἐστιν κβʹ.

Σαβιθά. Τοῦτον συριατικόν ἐστι τὸ ὄνομα, ὃ ἑρμηνεύεται ληνιαῖον ἄντλημα, παρὰ Ἀσκαλωνίταις ξεστῶν κβʹ.

Ἶν. Τὸ ἶν μέγα ξεστῶν ἐστὶ ιηʹ, τὸ δὲ ἅγιον ἶν ξεστῶν θʹ.

Χοῦς ἐστὶ ξεστῶν ηʹ. Τὸ δὲ καλούμενον ἅγιον ξεστῶν ἕξ, ὅ ἐστι δωδέκατον μετρητοῦ.

Τάλαντόν ἐστι τὸ ὑπερβάλλον πᾶν σταθμιζόμενον μέτρον, κατὰ δὲ τὸν λιτρισμὸν ρκεʹ λιτρῶν ὑπάρχει.

756 Ἔστι τὸ μέτρον κοτύλη J VS    Τὸ μέτρον κοτύλη L    Περὶ κοτύλης. Κοτύλη E    757 τὸν om. $V_2$    εἰς βʹ E    758 Περὶ κυάθου. Κύαθος οὐχ ἓν μέτρον ἐστίν, ἀλλὰ διάφορον. Εἰς κράσεις γὰρ ποτηρίων σεσ... (ἡ λέξις εἶναι δυσανάγνωστος) E    ἐκ τοῦ ξέστου $V_2$    ἔστι στʹ τοῦ ξέστου E (Ὁ κῶδιξ E ἐν συνεχείᾳ μεταβάλλει τὴν σειρὰν παραθέσεως τῶν μέτρων καὶ σταθμῶν παρατηροῦνται δὲ ἀξιοσημείωτοι διαφοραὶ μεταξὺ τούτου καὶ τῶν λοιπῶν κωδίκων. Ὡσαύτως γίνεται λόγος καὶ περὶ μέτρων καὶ σταθμῶν μὴ ἀναγραφομένων ἐν τοῖς λοιποῖς κώδιξι).    758 μεδέκ. Κὼθ $V_1$ $V_2$    758 - 760 Μεδεκὼθ... ἔχουσι om. E    759 τὰς δὲ VS    διυλιστῆρας, πολλάκις γὰρ τῷ αὐτῷ ὀνόματι χρησάμενος λέγει περὶ τῶν ἰθμῶν· ἰθμοὶ γὰρ καὶ ηὐλιστῆρες διὰ τὴν αὐτὴν χρῆσιν καλοῦνται $V_1 V_2$    ἠθμοὺς VS Lag$^r$ Lag. 761 Τυβλίον ἐστιν...βαφ(;)... τὴν πλάσιν $V_1 V_2$ ( Ὅπου ὑπάρχουν ἀποσιωπητικὰ τὸ κείμενον εἶναι ἐσβεσμένον)    762 ἀλεξανδρηνὸς VS Lag$^r$    762 - 763 δύο λιτρῶν... ἐλαίῳ om. $V_2$ (ἐσβεσμένον. Ἐν τῷ $V_1$ μόλις διακρίνεται)    764 post ἀπόρρυμα add. δὲ J VS Lag$^r$ Lag.    765 ξέστων $V_1$ $V_2$ J VS    ὁ δὲ σέτης ὁ ἀληθινὸς κβʹ $V_1$ $V_2$ (ἀκολούθως ἐσβεσμένα)    766 Σαβιθὰ om. $V_1$ $V_2$ (ἐσβεσμένον)    τοῦτο συρατικόν $V_1$ $V_2$    766 συριαστικὸν VS    767 ξέστων $V_1$ $V_2$ J VS    768 Ἶν. Τό ἶν om. $V_1$ $V_2$ (ἐσβεσμένον)    μέγα om. $V_2$ (ἐσβεσμένον)    ξέστων J L VS    ἔστι ξέστων ιηʹ. Τὸ δὲ ἶν τὸ ἅγιον, ὃ ἐστὶ ξέστων ἐννέα $V_1 V_2$    ἐννέα Lag$^r$    769 ἔστι $V_2$    ξέστων $V_2$ L VS    στʹ J    ςʹ VS Lag$^r$ Lag.    769 - 770 δωδέκατον με om. $V_1$ (ἐσβεσμένον) 770 μετρήτου J VS    771 σταθμώμενον J L VS Lag$^r$ Lag.    772 ληρισμὸν VS Lag$^r$

Στ. 771 Ἀναγράφω ὅτι τὴν γραφὴν παραθέτει καὶ ὁ Lag$^r$, καίτοι ὑπὸ τοῦ De Lagarde δὲν δηλοῦται τοῦτο σαφῶς. Τὸ αὐτὸ ἰσχύει καὶ διὰ τὰ καὶ ἀλλαχοῦ τοῦ παρόντος ὑπομνήματος παρατιθέμενα, ὁσάκις ὁ De Lagarde ἀποδέχεται τὴν γραφήν. Ὡς γνωστόν, ὁ Lag$^r$ ἀκολουθεῖ τοὺς J, L καὶ VS. Ἐκ τῆς συριακῆς μεταφράσεως δὲν δύναταί τις νὰ διακρίνῃ, ἂν ὁ μεταφραστὴς εἶχε πρὸ ὀφθαλμῶν «σταθμιζόμενον» ἢ «σταθμώμενον». Πιστεύομεν ὅτι τὸ «σταθμιζόμενον» εἶναι ἀρχαιότερον, ἐφ' ὅσον ἀπαντᾷ καὶ παρὰ τῷ $V_1$.

Ἑξακισχίλια λεπτὰ τοῦ ταλάντου, ἃ λεπτὰ καλεῖται ἀσσάρια. Ἑξήκοντα δὲ ἀσσάρια ὑπάρχει τὸ δηνάριον.

Ἑκατὸν δὲ δηνάρια ὑπῆρχεν ὁ ἀργυροῦς, ἀπ᾽ ἀρχῆς δὲ ἐτυπώθη ἀργυροῦς τὸ νόμισμα. Ἐκ δὲ τῶν ἀσσαρίων ἀπ᾽ ἀρχῆς τοῦτο ἐφοίτησε. Φασὶ δὲ τὸν Ἀβραὰμ εἰς τὴν Χαναναίαν τὸν τύπον ἐνηνοχέναι. Τοῦ δὲ ταλάντου τὸ ἑκατοστὸν εἰκοστὸν πέμπτον λίτρα μία. Ἡ δὲ λίτρα ιβ´ οὐγγιῶν ὑπάρχει. Ἡ δὲ οὐγγία ἔχει στατῆρας δύο.

Ὁ δὲ στατὴρ ἥμισυ μέν ἐστιν οὐγγίας, ἔχων δύο δίδραγμα.

Καλεῖται δὲ καὶ ὁ κοδράνης τὸ σίκλον. Τὸ δὲ σίκλον τὸ τέταρτον μὲν ἦν τῆς οὐγγίας, ἥμισυ δὲ τοῦ στατῆρος, δύο δραγμὰς ἔχον. Ὄγδοον γὰρ τῆς οὐγγίας ἦν ἡ δραγμή.

Ἐκαλεῖτο δὲ καὶ ὁλκὴ ἡ δραγμὴ τοῦ αὐτοῦ σταθμοῦ. Φημὶ δὲ ὡς καὶ τῷ σίκλῳ τὴν τρίχα τοῦ Ἀβεσαλὼμ ἐστάθμιζον κατὰ τὸν καιρόν, ὃν ἐκουρεύετο, ὁλκὴν ἐχούσης ρκε´ σίκλων, ὅ ἐστι λα´ οὐγγίας καὶ σίκλου ἑνός, ὡς δύο ἥμισυ λιτρῶν καὶ σίκλου ἑνός.

Ὀβολὸς καὶ αὐτὸς ἐν ἀργύροις ἐτυποῦτο. Ὄγδοον δὲ ἦν καὶ οὗτος τῆς οὐγγίας, οὐκ ἐξ ἀργύρου πεποιημένος, ἀλλ᾽ ἀπὸ σιδήρου. Ἦν δὲ καὶ ἕτερος ὀβολὸς ἐξ ἀργύρου τυπούμενος, νόμισμα ὤν, ὃ ἦν λεπτότατον, ὀγδοηκοστὸν δὲ ἦν τῆς οὐγγίας. Λέγει γὰρ ἐν τῷ Λευιτικῷ «τὸ δὲ δίδραγμον εἴκοσι ὀβολοί»[1]. Ὅτι δὲ τέταρτόν ἐστι τῆς οὐγγίας τὸ δίδραγμον ἤδη ἐδείξαμεν.

Χαλκοῖ. Τούτους οἱ Αἰγύπτιοι ἐφεύραντο. Ἀργύρια δὲ ἐστι τετυπωμέ-

1. Πρβλ. Λευιτ. 27, 25.

773 post ἑξακισχίλια add. δὲ $V_2$ 773 - 774 Ἓξ λεπτὰ ταλάντου ἑπτὰ ἀσσάρια· τὰ δὲ ἑπτὰ λεπτὰ τῶν ἀσσαρίων ρ´ ὑπάρχει δηνάρια J L VS Lag$^r$ Lag. 775 - 776 Ὁ ἀργυροῦς δὲ ἐτυπώθη ἀπ᾽ ἀρχῆς τὸ νόμισμα, ἐκ δὲ τῶν ἀσσαρίων τοῦτο ἐτυπώθη J L VS Lag$^r$ Lag. 777 post Χαναναίαν om. τὸν Lag$^r$ 777 - 778 τῶν ρκε´ J L VS Lag$^r$ Lag. 778 post πέμπτον add. ἡ $V_1$ $V_2$ λύτρα Op. δεκαδύο οὐγγίαι J VS Lag$^r$ Lag. οὐγγίαι L 780 ἐστὶν om. J L VS Lag$^r$ Lag. post ἔχων add. δὲ J L VS Lag$^r$ Lag. δύο om. J L VS Lag$^r$ Lag. δίδραχμα $V_2$ 781 - 782 Περὶ σίκλου (σίμου J VS). Σίκλος, ὃ λέγεται καὶ κοδράντης, τέταρτον μέν ἐστι τῆς οὐγγίας J L VS Lag$^r$ Lag. 782 δραγμὰς εἶχεν $V_1$ $V_2$ 783 τῆς γὰρ οὐγγίας ἦν ἡ δραγμὴ J L VS δραχμὴ $V_2$ 784 δὲ ὁλκὴ J L VS Lag$^r$ Lag. δραχμὴ $V_2$ 784 - 787 σταθμοῦ τῷ σίκλῳ τῷ σταθμίζοντι κατὰ καιρὸν τὴν τρίχα τοῦ Ἀβεσαλώμ, ὅτε (ὅταν L) ἐκουρεύετο, ὁλκὴν ἔχουσαν ρκε´ (κε´ Dind.) σίκλων, ὅ ἐστιν οὐγγία σίκλου ἑνός, γινομένη λίτραι δύο ἥμισυ J L VS Lag$^r$ Lag. 786 ρκε´ σίκλου $V_2$ ἔστι Lag$^r$ 788 ἀργυρίοις J ἐτετύπωτο L τετύπωτο. Μέτρον δὲ εἶχε καὶ οὗτος J L VS Lag$^r$ Lag. 789 ἀλλὰ ἀπὸ J VS Lag$^r$ Lag. 789 - 790 ἀλλ᾽ ἀπὸ σιδήρου... τυπούμενος om. $V_1$ $V_2$ 790 ἐξ ἀργυροῦ J ὂν L 790 - 791 ὀγδοηκοστὸν ὂν J VS Lag. ὀγγοηκοστὸν ὂν Lag$^r$ ὀγδοηκοστὸν ἦν L 791 δὲ ἦν om. Pet. 792 ὅτι δὲ δ´ τῆς οὐγγίας L δίδραχμον $V_1$ $V_2$ εἶεν $V_2$ ἤδη ἐδιδάξαμεν J L VS Lag$^r$ Lag. 793 χαλκοὶ οὓς $V_1$ $V_2$ χαρκοὶ Lag$^r$ ἐφεύρροντο VS ἐφέροντο Lag$^r$ ἐφηύραντο Dind. Lag. δέ εἰσι $V_2$

να, διὸ παρὰ Ἀλεξανδρεῦσι τὰ ἀργύρια χάλκινα καλεῖται. Ἔστι δὲ ὁ χαλκοῦς τῷ σταθμῷ ὄγδοον οὐγγίας, ὡς ἡ δραγμή.

Μνᾶς, ἥτις τῇ ἑβραΐδι μνήμη καλεῖται. Ἡ δὲ Ἰταλικὴ μνᾶς τεσσαράκοντα στατήρων ἐστίν, ὅπερ ἐστὶν οὐγγιῶν κ', λίτρας μιᾶς καὶ διμοίρου·

Ἀργυρίων δὲ πολλοὶ τύποι κατὰ καιροὺς γεγόνασι.

Τὸ δὲ νουμίον τετύπωται ἀπὸ Νουμᾶ τινὸς βασιλεύσαντος τῶν Ρωμαίων. Δίχρυσον δὲ ἐκάλουν οἱ παλαιοὶ τὸ ἥμισυ τοῦ ἀργύρου.

Τὸ δὲ ἄργυρον τοῦτό ἐστιν, ὃ οἱ Ρωμαῖοι μιλιαρίσιον καλοῦσιν, ὃ ἑρμηνεύεται στρατιωτικὸν δόμα.

Τὸ δὲ δίχρυσον καὶ τοῦτο ἀργύριον ἦν· ὅπερ ὕστερον κίβδηλον ἐκλήθη ἐξ αἰτίας τοῦ ἀναιρεθῆναι τὸν κατὰ καιρὸν βασιλέα καὶ ἐκβληθῆναι τὸν αὐτοῦ χαρακτῆρα ἐκ τοῦ διχρύσου, ὅς ἦν αὐτῷ ἐμφερόμενος. Ἔκτοτε γὰρ ἔνθα ἂν εὑρέθη τὴν τοῦ ἀναιρεθέντος βασιλέως φέρων εἰκόνα, κίβδηλος ὠνομάζετο, ἤγουν ἀδόκιμος.

Φόλης, ὃ καὶ βαλάντιον καλεῖται. Διπλοῦν δέ ἐστιν ὑπὸ δύο ἀργύρων συγκείμενον, οἵ γίνονται ση' δηνάρια. Καὶ φόλης δύο λεπτὰ κατὰ τὸν δηναρισμόν, ἀλλ' οὐ κατὰ τὸν ἀργυρισμόν.

Μάρης μέτρον ἐστὶ παρὰ Ποντικοῖς δύο ὑδριῶν. Ἡ δὲ ὑδρία αὐτοῖς δέκα ξεστῶν ἐστιν, ὥστε εἶναι τὸν κύπρον εἴκοσι ξεστῶν Ἀλεξανδρινῶν·

794 post διὸ add. καὶ J   δύο καὶ L VS Lag$^{r}$ Lag.   παρὰ Ἀλεξανδρεῦσι τὰ ἀργύρια καλοῦνται χάλκινα J L VS Lag$^{r}$ Lag.   ἄργυρα χαλκινᾶ καλεῖται V$_2$   796 μνάμη L   καλῆται Pet.   796 - 797 Μνᾶ ἀντὶ τοῦ μνάμη, τῇ μὲν γὰρ ἑβραΐδι μνάμῃ ὁ ἀργυροῦς καλεῖται. Ἡ δὲ μνᾶ (ἀμνὰ V$_2$) ἡ Ἰταλική, τεσσαράκοντα στατήρων ἐστί τουτέστιν οὐγγιῶν κ' V$_1$V$_2$   μ' στατήρων L   797 ὅπερ om. ἐστὶν J L ὅπερ οὐγγίων κ' VS   post διμοίρου V$_1$ V$_2$ add. Μέτρα συντόμως. Ἡ κοτύλη ἔχει οὐγγίας θ', ξέστου δὲ ἥμισυ. Ἡ μνᾶ οὐγγίας η', ὁ ξέστης ἔχει κοτύλας δ', οὐγγίας ιη', λίτρας ζ'. Κύπρος μόδιοι β'. Καμψάκης ξεστῶν δ', γράμμα κερατ(ίων) ς', ἡ ἀρτάβη ξεστῶν οβ', σάτον (κάτον V$_2$) μοδίου κουμουλάτου, χοίνιξ καὶ οἶφι ἕν ἐστι ξέστων β'. Νέβελ ξεστία ρκ' μέτρα δὲ λ' (τριάκοκτα V$_2$). Κύαθος οὐγγίαι οη', γομὸρ μέγα μόδιοι ιε', δραγμὴ καὶ ὁλκὴ κεράτ(ια;) ιβ', ἕν δέ ἐστι. Γομὸρ μικρὸν ξέσται ξ' (ζ' V$_2$) πέμπτον μετρητὰ (μετρητὴς ; V$_1$) ξεστία οβ', κόρος μόδιοι λ', τάλαντον λίτραι ρκε'. Κάβος τέταρτον μοδίου, στατὴρ οὐγγίας ἥμισυ, οὐγγία στατῆρες β', ὀβολὸς κεράτ(ια) γ' (Σημειωτέον ὅτι τὸ οὐγγίαι ἀναγράφεται συντετμημένον (⌈·)) Οὕτω περατοῦται ἡ ἐκ τῶν κωδίκων V$_1$ V$_2$ παράθεσις τοῦ «Περὶ μέτρων καὶ σταθμῶν» ἔργου. Ἑπομένως εἰς τοὺς δύο κώδικας παραλείπονται τὰ ἀπὸ τοῦ στ. 798 (Ἀργυρίων...) καὶ ἐφεξῆς.   799 τοῦ Νουμᾶ τινὸς βασιλέως J VS Lag$^{r}$ Lag.   800 δύχρυσον Lag$^{r}$   803 δύχρυσον Lag$^{r}$   804 ἐξ αἰτείας VS   805 ἦν VS   806 ηὑρέθη Dind. Lag.   806 - 807 ἄργυρος ὠνομάζετο L   ἀδόκημος Op.   808 Φόλις L   ὃ καὶ ταλάντιον Op. Pet. Dind. Lag.   σαπάντιον Lag$^{r}$   809 σκ' δινάρια J Lag$^{r}$   σ' δινάρια VS   φόλις L δύο λεπτοὶ J L VS Lag$^{r}$ Lag.   811 Μάρης μέτρον ἐστὶ om. VS Lag$^{r}$ (ἐσβεσμένον) Ποτικοῖς Lag$^{r}$   812 ξέστων J L VS   ἐστιν ὥς om. Lag$^{r}$ (ἐσβεσμένον)   Ἀλεξανδρεινῶν VS Lag$^{r}$

Κύπρος παρὰ τοῖς αὐτοῖς Ποντικοῖς μέτρον ἐστὶ ξηρῶν γεννημάτων, μόδιοι δύο, ὃ λέγεται εἶναι παρ' αὐτοῖς χοινίκων πέντε. Ὁ δὲ χοῖνιξ παρ' αὐτοῖς ξεστῶν ἐστι πέντε, ὥστε εἶναι τὸν κύπρον ξεστῶν κ'. Ὁ γὰρ μέγας παρ' αὐτοῖς μόδιος ξεστῶν κδ'.

Κόλλαθον ἐστὶ παρὰ τοῖς Σύροις τὸ ἥμισυ τοῦ ὑγροῦ σάτου. Ἐστὶ δὲ ξεστῶν κε'.

Κογγιάριον δὲ μέτρον ἐστὶν ὑγροῦ, καὶ αὐτὸ παρ' Ἑβραίοις ἐκφωνούμενον· τοῦτο τὸ μέτρον ἐστὶν ἐν χρονογραφίαις Εὐσεβίου καὶ τῶν ἄλλων χρονογράφων δηλούμενον, ὡς ἕκαστος τῶν τότε βασιλέων κατὰ φιλοτιμίαν τῷ δήμῳ Ῥωμαίων πρὸς εὐφρασίαν ἐχαρίζοντο, ὃ ἑρμηνεύεται συνημμένον ἢ συνεστραμμένον.

813 αὐτοῖς αὐτοῖς VS γενημάτων (;) Lag$^{r}$ 814 μόδυοι Lag$^{r}$ χρονίκων VS ε' L 815, 816, 817 ξέστων J L VS 815 εἴκοσι Lag$^{r}$ 816 εἴκοσι τεσσάρων L 817 ἔστι Dind. 818 εἴκοσι πέντε Lag$^{r}$ 819 Κογγιαριάριον VS 820 χρογραφίαις VS Εὐσεβείου Lag$^{r}$ 822 εὐρασίαν Lag$^{r}$

# ΕΠΙΜΕΤΡΟΝ

Εἶχεν ἤδη ἐκτυπωθῆ μέγα μέρος τῆς παρούσης μελέτης, ὅτε ἐλάβομεν γνῶσιν τῆς ἀξιολογωτάτης μελέτης τοῦ Erich Schilbach «Byzantiniche Metrologie», «München», 1970. Ἡ μελέτη αὕτη ἀνεπλήρωσε μέγα κενόν, δεδομένου ὅτι οὐδεμία συστηματικὴ μελέτη περὶ τῶν μέτρων καὶ σταθμῶν τῶν Βυζαντινῶν μέχρι τοῦδε ἐγένετο. Ὡς ὁ συγγραφεὺς ἀναγράφει (ἔνθ' ἀν. σ. 4-5), ἡ μελέτη αὐτοῦ περιορίζεται τοπικῶς μὲν εἰς τὰς περιοχὰς τῆς Μικρᾶς Ἀσίας, τῆς Νοτίου Βαλκανικῆς, τῆς Κύπρου, τῆς Κρήτης καὶ τῶν λοιπῶν νήσων τοῦ Αἰγαίου πελάγους, χρονικῶς δὲ κυρίως εἰς τὴν μεσοβυζαντινὴν καὶ ὑστεροβυζαντινὴν περίοδον. Ἕνεκα τοῦ χρονικοῦ τούτου περιορισμοῦ παραλείπομεν καὶ ἐνταῦθα νὰ ὁμιλήσωμεν ἀναλυτικῶς περὶ τῶν μέτρων καὶ σταθμῶν τῶν Βυζαντινῶν παραπέμποντες εἰς τὴν προαναγραφεῖσαν μελέτην. Σημειωτέον, ὅτι ὁ συγγραφεὺς προσπαθεῖ νὰ διακριβώσῃ τὴν σχέσιν τῶν βυζαντινῶν μέτρων καὶ σταθμῶν πρὸς τὰ ἀρχαῖα μέτρα καὶ σταθμὰ καὶ τὴν προέλευσιν αὐτῶν. Ἐνδεικτικῶς ἀναγράφομεν ὅτι:

α') Ὅσον ἀφορᾷ εἰς τὰ μέτρα χωρητικότητος τῶν στερεῶν: Τὸ παρὰ τοῖς Βυζαντινοῖς ἀπαντῶν «ταγάριον» (2,136 l.) ἀντιστοιχεῖ πρὸς τὴν «στάμνον», περὶ τῆς ὁποίας ὁμιλεῖ ὁ Ἐπιφάνιος, ἥτις ἦτο τὸ τέταρτον τοῦ «ἀλεξανδρινοῦ ξέστου». Ὡσαύτως ὁ «μόδιος τριπινακίων» τῶν Βυζαντινῶν ἀντιστοιχεῖ πρὸς τὸν «μέγαν κύπρον» (14,0464 l.).

β') Ὅσον ἀφορᾷ εἰς τὰ μέτρα χωρητικότητος τῶν ὑγρῶν (ταῦτα ὑποδιῃροῦντο παρὰ τοῖς βυζαντινοῖς εἰς μέτρα οἴνου καὶ ὕδατος καὶ εἰς μέτρα ἐλαίου, καίτοι πολλὰ ἐξ αὐτῶν τυγχάνουσι κοινά): Τὸ «θαλάσσιον μέτρον» (10,250 l.) ἀντιστοιχεῖ πρὸς τὸ συριακὸν «σαφιθὰ» ἢ τὸν παρὰ Θηβαίοις καλούμενον «σαΐτην».

Προσοχὴ ἀπαιτεῖται ὁσάκις ἀπαντῶμεν παρὰ τοῖς Βυζαντινοῖς ὀνόματα ἀρχαίων μέτρων. Ταῦτα δύνανται νὰ ἔχουν ἀξίαν διάφορον τῆς ἀρχικῆς. Ἐνίοτε παρὰ τοῖς Βυζαντινοῖς ὁ «μέδιμνος» ταυτίζεται πρὸς τὸν «μόδιον». Ὡσαύτως ὁ ξέστης ἀντιστοιχεῖ παρ' αὐτοῖς διὰ μὲν τὰ μέτρα χωρητικότητος τῶν στερεῶν πρὸς τὴν «φοῦκταν», διὰ δὲ τῶν ὑγρῶν πρὸς τὴν «σουαλίαν λίτραν». Σημειωτέον ὅτι ὁ «ξέστης» ἀπαντᾷ σπανίως κατὰ τοὺς μεσοβυζαντινοὺς καὶ ὑστεροβυζαντινοὺς χρόνους, δὲν

εἶναι ὅμως δυνατὸν νὰ προσδιορισθῇ ἐπακριβῶς ἡ ἀξία αὐτοῦ. Ἐπίσης ἡ «κοτύλη» ἐχρησιμοποιήθη πρὸς δήλωσιν διαφόρου ἀξίας μέτρων (Πρβλ. ἔνθ' ἀν. σ. 114-115).

γ') Ὅσον ἀφορᾷ εἰς τὰ σταθμά: Κατὰ τοὺς πρώτους Βυζαντινοὺς χρόνους ἐχρησιμοποιήθη τὸ ἑλληνορωμαϊκὸν σύστημα μετὰ μικρῶν τροποποιήσεων. Παρὰ τοῖς Βυζαντινοῖς ἀπαντᾷ τὸ «γομάριον» (ὠνομάζετο καὶ «γόμος» καὶ «γόμιον»). Τοῦτο ἀναφερόμενον ὑπὸ τοῦ Ἐπιφανίου μεταξὺ τῶν μέτρων χωρητικότητος ἦτο καὶ μέτρον βάρους. Πρὸς ἕνα «γόμορ» ἀντιστοιχοῦσι δώδεκα «μόδιοι». Ὁ Ἐπιφάνιος ποιεῖται λόγον περὶ «μεγάλου γομὸρ» ἢ «λεθὲκ» ἀντιστοιχοῦντος πρὸς δέκα καὶ πέντε (15) μοδίους. Ὡσαύτως ἐκ τῶν παρὰ Ἐπιφανίῳ ἀπαντωμένων σταθμῶν ἐχρησιμοποιεῖτο τὸ «κεντηνάριον», ἡ «λίτρα» (ἀργυρική, λογαρική, σουαλία — ἡ «λογαρικὴ λίτρα» τῶν Βυζαντινῶν, τὸ ἑκατοστὸν τοῦ κεντηναρίου, ἦτο ἀντίστοιχος πρὸς τὴν ρωμαϊκὴν libra ἢ as), ἡ «οὐγγία» (ἀργυρική, λογαρική, σουαλία — τὸ δωδέκατον τῆς λίτρας), ἡ («δραχμή» (τὸ ἑκατοστὸν τῆς ἀργυρικῆς λίτρας), ὁ «ὀβολὸς» (τὸ ἑξακοσιοστὸν τῆς ἀργυρικῆς λίτρας).

Σημειωτέον βεβαίως, ὅτι τὰ ὀνόματα τῶν σταθμῶν ἐχρησιμοποιοῦντο καὶ πρὸς δήλωσιν τῶν νομισμάτων.

# Π Ι Ν Α Ξ

## ΤΩΝ ΧΩΡΙΩΝ ΤΗΣ ΑΓΙΑΣ ΓΡΑΦΗΣ


| | | Στιχ. |
|---|---|---|
| Γεν. | 1,1-2 | 637-638 |
| | 1,6-7 | 650 |
| | 1,10 | 651-652 |
| | 1,11-12 | 652-653 |
| | 1,16 | 655 |
| | 1,20-21 | 657-658 |
| | 1,24-26 | 659-660 |
| | 2,2 | 661-662 |
| | 2,3 | 664-665 |
| | 5,5 | 31,34 |
| | 18,6 | 742 |
| Ἐξ. | 19,5 | 667-668 |
| | 24,1 | 318-319 |
| | 24,12 | 318-319 |
| | 30,25 | 635 |
| | 30,31 | 635 |
| Λευιτ. | 27,25 | 791-792 |
| Δευτ. | 14,2 | 667-668 |
| | 25,15 | 634 |
| Γ΄ Βασ. | 17,12 | 754-755 |
| | 17,14 | 754-755 |
| Α΄ Παρλ. | 1,1-4 | 669-670 |
| | 1,17-28 | 670-672 |
| Ψαλμ. | 140,1 | 163-164, 164-165 167-168, |
| | 150,6 | 138 |
| Ἆσμ. Ἀσμ. | 4,12 | 310-311 |
| Σοφ. Σειρ. | 20,30 | 310-311 |
| Ὠσ. | 3,2 | 610 |
| Μαλ. | 1,2-3 | 445 |
| Ἡσ. | 1,8 | 381-382 |
| | 5,10 | 740 (ἐν τῷ κριτικῷ ὑπομνήματι) |
| Ματθ. | 10,32 | 714 |
| Λουκ. | 16,6-7 | 597-600 |
| Α΄ Κορ. | 7,18 | 441-442 |

# ΠΙΝΑΚΕΣ



Φωτ. 1. Vaticanus Graecus 1142, f. 26v (ιγ' αἰ.).



Φωτ. 2. Vaticanus Graecus 1196, f. 26 (ιστ' αἰ.).



Φωτ. 3. Jenensis Bose 1, f. 161 α (ιδ' αἰ., 1304 ἔτ.).



Φωτ. 4. Laurentianus VI 12, ff. 81v-82 (ιδ' αἰ.).



Φωτ. 5. Vindobonensis Suppl. Gr. 91, ff. 105v-106 (ιε' αἰ.).



Φωτ. 6. Atheniensis Bibl. Nat. 2492 (ιβ' αἰ.).



Φωτ. 8. Escorialensis Bibl. Monast. Ψ IV 27, ff. 84v-85 (ιγ'-ιδ' αἰ.).